www.tezaurliturgic.ro

«Ἐφραίμ ὁ πολύς, ἡ παραμυθία τῶν ἀθυμούντων, ἡ παιδαγωγία τῶν νέων, ἡ χειραγωγία τῶν μετανοούντων, ἡ κατά τῶν αἱρετικῶν ρομφαία, τό δοχεῖον τοῦ Πνεύματος».

ΑΚΟΛΟΥΘΙΑ
ΜΕΤΑ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ ΚΑΙ ΧΑΙΡΕΤΙΣΜΩΝ
ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ
ΤΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΕΚΔΟΣΙΣ
ΙΕΡΑΣ ΜΟΝΗΣ ΟΣΙΟΥ ΕΦΡΑΙΜ ΤΟΥ ΣΥΡΟΥ
ΚΟΝΤΑΡΙΩΤΙΣΣΗΣ - ΚΑΤΕΡΙΝΗΣ

www.tezaurliturgic.ro

Εἰκὼν ἐμπροσθοφύλλου: Ὁ ἅγιος Ἐφραὶμ ὁ Σύρος, σύγχρονος φορητὴ εἰκών, ἔργον Ἀδελφότητος Ἱερᾶς Μονῆς Ὁσίου Ἐφραίμ, Κονταριωτίσσης - Κατερίνης.

Εἰκὼν ὀπισθοφύλλου: Ἱερὸν Παρεκκλήσιον τῆς Ἱερᾶς Μονῆς, τιμώμενον εἰς τήν θαυματουργόν, Ὁσίαν Εἰρήνην Χρυσοβαλάντου *(πανηγυρίζει τῇ 28ῃ Ἰουλίου).*

ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (11521)

ΑΡΙΘ. ΠΡΩΤ. 866 ΑΘΗΝΗΣΙ ΤΗ 26 ΙΟΥΝ. 1985
ΔΙΕΚΠ. 1068 ΘΕΜΑ:

Πρὸς
Τὸν Σεβασμιώτατον Μητροπολίτην

Κίτρους κ. Βαρνάβαν

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Εἰς ἀπάντησιν τοῦ ὑπ' ἀρ. πρ. ΔΥ/85 ὑμετέρου ἐγγράφου, δι' οὗ ὑποβάλλετε πρὸς ἔγκρισιν «Ἀκολουθίαν τοῦ Ὁσίου Ἐφραὶμ» ποιηθεῖσαν ὑπὸ τοῦ Ὁσιολ. Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Συνοδικῇ ἀποφάσει, ληφθείσῃ ἐν τῇ Συνεδρίᾳ τῆς 9-5-85, κατόπιν τῆς σχετικῆς εἰσηγήσεως τοῦ Σεβ. Μητροπολίτου Ἀττικῆς κ. Δωροθέου, Προέδρουτῆς Συνοδικῆς Ἐπιτροπῆς Θ. Λατρείας κ.λπ., ἐγκρίνομεν ταύτην ὡς καλῶς ἔχουσαν, καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐτῇ καὶ παρακαλοῦμεν, ὅπως κατὰ τὴν τάξιν ὑποβάλητε ἡμῖν πέντε (5) ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἱ. Ἀκολουθίας διὰ τὸ Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θ. Λατρείας κ.λπ.

Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν Ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης.

Ο ΑΘΗΝΩΝ ΣΕΡΑΦΕΙΜ ΠΡΟΕΔΡΟΣ

www.tezaurliturgic.ro

Ἀπολυτίκιον Ἦχος γ' Θείας πίστεως

Ῥεῖθρον ἄϋλον ἐν τῇ ψυχῇ σου
τὸν ζωήῤῥυτον πλουτήσας φόβον,
κατανύξεως κρατὴρ ἀναδέδειξαι·
ὅθεν ἡμᾶς πρὸς ζωῆς τελειότητα
τοῖς ἱεροῖς σου ῥυθμίζεις διδάγμασιν.
Ἐφραὶμ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε,
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς τῆς σοφίας ὑποφήτην θεοῤῥήμονα
καὶ μετανοίας ἀληθῶς σάλπιγγα ἔνθεον
εὐφημοῦμέν σε οἱ δοῦλοί σου, θεοφόρε.
Ἀλλ' ὡς θεῖος θεωρὸς Χριστοῦ τοῦ βήματος
ἐν τῇ κρίσει ἀκατάκριτόν με φύλαξον,
ἵνα κράζω σοι, χαίροις, Πάτερ Ἐφραίμ, σοφέ.

Μεγαλυνάριον.

Χαίροις τῶν Ὁσίων κλέος σεπτὸν
καὶ τῶν μοναζόντων Θεοφόρος ὑφηγητής·
χαίροις ὁ τῷ λόγῳ ἡμᾶς πρὸς θεῖον φόβον
ἀπαύστως διεγείρων, Ἐφραὶμ μακάριε.

ΠΡΟΛΟΓΟΣ ΣΕΒ. ΜΗΤΡΟΠΟΛΙΤΟΥ

Ἀνεμένετο ἡ σὲ λίγο χρονικὸ διάστημα ἐξάντληση τῆς δευτέρας ἐκδόσεως τῆς Ἀκολουθίας τοῦ Ὁσίου Ἐφραίμ.

Καὶ τοῦτο, γιατὶ τὸ πλατὺ χριστιανικὸ πλήρωμα αἰσθάνθηκε τὴ μεγάλη πνευματικὴ ὠφέλεια ἀπὸ τὴν προσευχητικὴ χρήση, μιὰ καὶ ὅπως ἐγράφαμε στὸν πρόλογο τῆς β' ἐκδόσεως, «ὅλοι οἱ κόποι καὶ τὰ αἱματηρὰ παλαίσματα, καθὼς καὶ ἡ βιωματικὰ ἔνθεη ἐσωτερικὴ κατάσταση τοῦ Ἁγίου Ἐφραὶμ ἀποτυπώνονται ἄριστα καὶ διδακτικώτατα στὴν ἱερὰ ἀκολουθία, ποὺ μᾶς ἐχάρισε ἡ ὑμνογραφικὴ δεξιοτεχνία τοῦ Πανορθόδοξου γνωστοῦ ἁγιορείτη μοναχοῦ κ. Γερασίμου Μικραγιαννανίτου», μὲ ἀποτέλεσμα ὅλοι μας νὰ μποροῦμε νὰ ἐπικαλούμεθα μὲ ἄνεση τὶς δραστικὲς πρεσβεῖες τοῦ Ὁσίου. Καὶ ἀκόμα, γιατὶ τὸ ἀπὸ τὴν σεβάσμια Καθηγουμένη Αἰκατερίνη καθοδηγούμενο Μοναστήρι του στὴν Κονταριώτισσα Πιερίας ἔχει λόγω τῆς σπουδαιότητός του καταστεῖ τόσο γνωστὸ στὸν Βόρειο ἑλλαδικὸ χῶρο, σιγὰ-σιγὰ δὲ καὶ πανελλήνια, ὥστε ὁ γλαφυρὰ ἁγιογραφούμενος Ὅσιος Ἐφραὶμ καὶ ἡ θαυματουργική του προστασία νὰ γίνονται σιγὰ-σιγὰ πολὺ οἰκεῖα στὴ φιλομοναστικὴ εὐσέβεια καὶ στὰ πλήθη τῶν Χριστιανῶν, ποὺ ἔρχονται γιὰ νὰ τὸν προσκυνήσουν καὶ νὰ ζητήσουν τὴ βοήθειά Του.

Εὐχόμεθα, ἡ Χάρη Του νὰ ἐπισκιάζει τὴν Γερόντισσα καὶ τὶς ἀδελφές, ποὺ ὑπεράνθρωπα ἀγωνίζονται νὰ καταστήσουν τὸ βίωμα τῆς διδασκαλίας τοῦ Ἁγίου σημερινὴ πραγματικότητα, καὶ μὲ τὴ νέα αὐτὴ ἔκδοση νὰ μεγαλύνεται τὸ Ὄνομα τοῦ Θεοῦ, ἀφοῦ θὰ προάγωνται πνευματικὰ ἐκεῖνοι ποὺ θὰ προσεύχωνται καὶ θὰ ἀγωνίζωνται τὸν καλὸν ἀγῶνα τῆς πάλης μὲ τὸν Θεό.

Ο ΚΙΤΡΟΥΣ ΚΑΤΕΡΙΝΗΣ ΚΑΙ ΠΛΑΤΑΜΩΝΟΣ ΑΓΑΘΟΝΙΚΟΣ

www.tezaurliturgic.ro

Κοίμησις τοῦ Ὁσίου Ἐφραίμ.



ΕΙΣΑΓΩΓΗ

Γ' Ἐκδόσεως

«Θαυμαστὸς ὁ θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ»!

Εἰς τὴν πανήγυριν τῆς Ἱερᾶς Μονῆς μας, κατὰ τὴν μνήμην τοῦ Προστάτου μας Ὁσίου Ἐφραὶμ τοῦ Σύρου, τὴν 28ην Ἰανουαρίου, κάθε χρόνο, συρρέει πλῆθος εὐλαβῶν προσκυνητῶν, διὰ νὰ λάβουν τὴν χάριν καὶ τὴν ἴασιν ὑπὸ τοῦ Ἁγίου. Καὶ εἰς πολλοὺς ὅμως, ἐνοριακοὺς ναούς, τιμᾶται τὴν αὐτὴν ἡμέραν ἡ μνήμη Του, καθὼς ὁ Ὅσιος Ἐφραίμ ὁ Σύρος, συνεχῶς καὶ περισσότερον εὐρύτερα γίνεται γνωστὸς καὶ ἀπὸ τὰ θαύματά του, τινα τῶν ὁποίων ἱστοροῦμεν εἰς τὸ ὑπὸ γ' ἔκδοσιν βιβλίον μας, τὸ ὁποῖον φέρει τὸν τίτλον «ὁ Ἅγιος τῶν δακρύων».

Ἡ Ἀκολουθία λοιπόν, ἐκτυπωμένη σὲ λειτουργικὸ βιβλίο διὰ τοὺς πιστούς, οἱ ὁποῖοι συμμετέχουν εἰς τὸν ἑορτασμόν, εἰς ὁποιοδήποτε μέρος, εἶναι ἕνα πολύτιμο βοήθημα, διὰ μία καλλίτερη καὶ ἀποδοτικώτερη συμμετοχὴ εἰς τὸν ἑορτασμόν, μὲ μία οὐσιαστικώτερη προσέγγισι τῆς ἁγίας ζωῆς καὶ τῆς πνευματικότητος τοῦ Ὁσίου. Ἀλλά, καὶ ὁσάκις αἰσθάνωνται τὴν ἀνάγκην νὰ ἐπικοινωνήσουν μὲ τὸν Ἅγιον καὶ νὰ ἐπικαλεσθοῦν Αὐτόν, νὰ μεσιτεύσῃ πρὸς Κύριον, ὑπὲρ ἐλέους, ὑγιείας, σωτηρίας, ἀπαλλαγῆς παθῶν καὶ νοσημάτων.

Ἡ εἰδικὴ αὐτὴ χρησιμότητα τῆς Ἀκολουθίας, εἶναι ὁ κύριος λόγος, διὰ τὸν ὁποῖον ἐξηντλήθησαν σύντομα οἱ δύο προηγούμενες ἐκδόσεις της καὶ μᾶς ἀναγκάζει νὰ προβοῦμε ἤδη εἰς τὴν τρίτην.

Προσφέρομε καὶ αὐτὴν τὴν ἔκδοσιν πρωτίστως, «Κυρίῳ τῷ Θεῷ ἡμῶν, ὑπὲρ τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου, τοῦ θαυματουργοῦ, ὁ ὁποῖος ἤδη ἐν Οὐρανοῖς, ὁμοῦ μετὰ τῶν Ἀγγέλων καὶ τῶν ἄλλων Ἁγίων, «προσᾴδει τῇ Ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον», καὶ μνημονεύει πάντων τῶν τιμώντων τὴν ἁγίαν μνήμην Του.

Προσφέρομεν ὅμως, συγχρόνως, τὴν ἔκδοσιν αὐτὴν εἰς τοὺς εὐλαβεῖς προσκυνητὰς τῆς Ἱ. Μονῆς τοῦ Ὁσίου Ἐφραὶμ καὶ εἰς ὅλους τοὺς ἑορταστὰς τῆς μνήμης Του «ἕως τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν», ὡσὰν μίαν εὐλογίαν πνευματικῆς ἐπικοινωνίας καὶ ὡσὰν χειραψία, ἡ ὁποία μᾶς συνδέει ἐν Χριστῷ, ἀπὸ μέρους ὁλοκλήρου τῆς ἀδελφότητος τῆς Ἱερᾶς Μονῆς μας.

Κυριακή, 28 Ἰανουαρίου
ΙΕ' ΛΟΥΚΑ (Ζακχαίου) Ἐφραὶμ τοῦ Σύρου

† *Ἡ Καθηγουμένη*
Αἰκατερῖνα Μοναχή



Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.
Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τοῦ Παραδείσου τὰ κάλλη κατοπτρισάμενος
καὶ δαψιλῶς τρυφήσας
ἀκηράτους λειμῶνας,
ἐξήνθησας τῷ κόσμῳ γνῶσιν Θεοῦ,
ἧς μετέχοντες, Ὅσιε,
πνευματικῇ διαθέσει τῇ τῶν ψυχῶν
ἀναθάλλομεν ἐν πνεύματι.

www.tezaurliturgic.ro

Τὴν τοῦ Κριτοῦ παρουσίαν ἱστορησάμενος,
τοῖς τῶν δακρύων ῥείθροις
τῶν ψυχῶν τὰς λαμπάδας
ἀνάπτειν ἐκδιδάσκεις πᾶσι βοῶν
τοῦ Νυμφίου τὴν ἔλευσιν.
Περιβαλώμεθα πάντες στολὴν λαμπρὰν
ὑπαντῆσαι τῷ νυμφίῳ Χριστῷ.

Τῇ ἐγκρατείᾳ τὸ σῶμα περιφραξάμενος,
τὰς τῶν παθῶν κινήσεις
ἀπενέκρωσας, Πάτερ,
εὐχαῖς καὶ ἀγρυπνίαις· ὅθεν ἐν σοὶ
ἡ τοῦ Πνεύματος δύναμις
ἐπισκιάσασα ἔδειξε νοητὸν
σὲ φωστῆρα καὶ παγκόσμιον.

Τοῦ Παρακλήτου τὴν χάριν, Πάτερ, δεξάμενος,
τὸν νοῦν ἀνακαθάρας
ἐγκρατείας τοῖς πόνοις,
φωστὴρ τῆς Ἐκκλησίας περιφανὴς
ἀναδέδειξαι, Ὅσιε,
καὶ διδαγμάτων ἀκτῖσι φωταγωγεῖς
εὐσεβούντων τὰ πληρώματα.

Δόξα. Ἦχος πλ. β΄.

Ἐμφρόνως τῶν ὀχληρῶν τοῦ βίου ἀπαναστάς,
Ἐφραὶμ ἀοίδιμε, φιλησυχίᾳ τὴν ἔρημον κατέλαβες·
καὶ δι᾽ αὐτῆς πρὸς Θεὸν πρακτικῶς ἀναγόμενος
τῷ κόσμῳ ἔλαμψας φωστὴρ
καὶ ῥήματα ζωῆς τοῖς ἀνθρώποις ἐπήγασας·
διὸ μὴ παύσῃ ἐν ταῖς εὐχαῖς σου στηρίζων ἡμᾶς
ἐκ βλάβης τοῦ ἀλλοτρίου
ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν,
Ὅσιε Πάτερ.

Καὶ νῦν. Θεοτοκίον.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν,
Θεοτόκε Παρθένε·
αὐτὸν ἱκέτευε
σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Οἶκος τῶν ἀρετῶν
συντόνῳ σου ἀσκήσει,
Ἐφραὶμ Πνευματοφόρε,
ὡς ἀληθῶς ἐδείχθης
καὶ ἄγγελος ἐν σώματι.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Χαίροις τῶν Μοναστῶν
ὁ θεῖος ὑποφήτης
ἔργῳ καὶ λόγῳ, Πάτερ,
καὶ πάσης Ἐκκλησίας
θεοειδὴς διδάσκαλος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον·
ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα·

Ἤνυσας ἐν σαρκὶ
ὡς ἄσαρκος τὸν βίον,
καὶ ἅπαντας παιδεύεις
φρονεῖν ἀεὶ τὰ ἄνω
σοφῷ σου ὑποδείγματι.

www.tezaurliturgic.ro

Δόξα. Τριαδικόν.

Στόματι ἱερῷ
Τριάδα τὴν Ἁγίαν
μιᾷ οὐσίᾳ, Πάτερ,
κηρύττων ἀποφράττεις
αἱρετικῶν τὰ στόματα.

Καὶ νῦν. Θεοτοκίον.

Ὅλος ὢν τῷ Πατρὶ
ὅλος ἐν σοὶ σκηνώσας
ὁ Λόγος, Θεοτόκε,
ἀτρέπτως ἐσαρκώθη
ἐκ τῶν ἁγνῶν αἱμάτων σου.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον
ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς πολύφωτος ἥλιος
ἐκ Συρίας ἀνέτειλας,
καταυγάζων ἅπασαν τὴν ὑφήλιον
τῶν ἀρετῶν σου ταῖς λάμψεσι
καὶ τῆς πολιτείας σου
τῷ φωτὶ τῆς καθαρᾶς
καὶ ἀκτῖσι τῶν λόγων σου, Ἐφραὶμ Ὅσιε,
ὧν τὴν χάριν ἐδέξω οὐρανόθεν
διὰ τοῦτο σου τὴν μνήμην
τὴν φωταυγῆ ἑορτάζομεν.

Τὸν Σταυρὸν τοῦ Κυρίου σου
ἐπὶ ὤμων ἀράμενος,
ἀπηρνήσω ἅπαντα τὰ ἐπίκηρα
καὶ ἐν ἐρήμοις ὡς ἄγγελος ἐβίωσας, Ὅσιε,
ἀναβάσεσι τὸν νοῦν
ἱεραῖς λαμπρυνόμενος
καὶ τοῖς δάκρυσιν
ἀρδευόμενος ἤρθης, θεοφόρε,
ἀρετῶν εἰς θεῖον ὕψος
διὰ πολλῆς ταπεινώσεως.

www.tezaurliturgic.ro

Τῇ ἀσκήσει καθάρας σου
τῆς ψυχῆς τὴν κατάστασιν
θεϊκῶν ἐλλάμψεων ὤφθης ἔμπλεως
καὶ σκεῦος, Πάτερ, πολύτιμον
καὶ στόμα θεόσοφον,
ἐπιπνοίας θεϊκῆς
θησαυρὸν θείας γνώσεως, σοφοῖς ῥήμασιν,
οἷα κρήνη πολύῤῥυτος πηγάζων,
δι' ὧν ἅπαντας παιδεύεις,
Ἐφραίμ, πρὸς βίον ὑπέρτερον.

Ὡς τοῦ Πνεύματος ὄργανον
θεοφόρος διδάσκαλος
Ἐκκλησίας πέφηνας, Πάτερ Ὅσιε,
καὶ μοναστῶν ὑποτύπωσις
διδάσκων τῷ λόγῳ σου
τῶν φθαρτῶν ὑπερφρονεῖν
καὶ τῶν ἄνω ἐφίεσθαι θείῳ ἔρωτι·
καὶ προβλέπειν τῆς κρίσεως τὴν ὥραν,
ἐγρηγόρσει διανοίας
καὶ πολιτείας σεμνότητι.

Ὡς ἐπέγνω τοῦ βίου σου
τὴν λαμπρότητα, Ὅσιε
καὶ τὴν ἐνοικοῦσάν σοι χάριν ἄνωθεν
θεηγόρος Βασίλειος,
ἠγάσθη τὴν ἔλλαμψιν τῆς
καρδίας σου, σοφέ,
ὃν ὡς στῦλον τεθέασαι οὐρανόφωτον
ἐν ἐρήμῳ, Ἐφραὶμ Πνευματοφόρε,
ὡς θεάμων τῶν ἀῤῥήτων
καὶ ἀπαθείας θησαύρισμα.

Χῦμα θεῖόν σοι δέδοται
τῆς σοφίας τῆς ἄνωθεν
ὡς Θεοῦ θεράποντι, Ἐφραὶμ Ὅσιε,
ἔνθεν ἡ γλῶσσά σου ἔβλυσεν

διδάγματα ἄφθονα
ὡς χειμάῤῥους τῆς τρυφῆς
καὶ πηγὴ ἀνεξάντλητος θείας χάριτος
καὶ νεφέλη ἀΰλου ἐπομβρίας
γλυκασμὸν ἀθανασίας
τοῖς ἐπὶ γῆς ἀποστάζουσα.

Δόξα. Ἦχος πλ. δ'.

Τοῦ θείου φόβου τῷ ἄνθρακι
τῆς σαρκὸς τὸ φρόνημα ἠνάλωσας
δι' ἐγκρατείας πολλῆς, Ἐφραὶμ Πάτερ Ὅσιε·
ὅλῳ γὰρ νοῖ Χριστοῦ τὴν δόξαν συνορῶν
τῆς ἐκεῖθεν χορηγίας
ἐν ἀῤῥήτῳ φωτὶ ἐπλήσθης μακάριε·
καὶ ῥήματα ζωῆς αἰωνίου πηγάσας
ποταμὸς θεόβρυτος καὶ ὑποφήτης ἀρετῶν
καὶ ταμεῖον θείων χαρίτων
τῇ Ἐκκλησίᾳ πέφηνας·
ἡ γὰρ χάρις τοῦ Πνεύματος δαψιλῶς ἐν σοὶ
ἐνῴκησε.
Καὶ νῦν Χριστῷ παριστάμενος,
πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ὁ Βασιλεὺς τῶν οὐρανῶν διὰ φιλανθρωπίαν
ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη·
ἐκ Παρθένου γὰρ Ἁγνῆς σάρκα προσλαβόμενος
καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως
εἷς ἐστιν Υἱὸς διπλοῦς τὴν φύσιν, ἀλλ' οὐ τὴν
ὑπόστασιν.
Διὸ τέλειον αὐτὸν Θεὸν καὶ τέλειον ἄνθρωπον
ἀληθῶς κηρύττοντες,
ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν·
ὃν ἱκέτευε, Μῆτερ Ἀνύμφευτε,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. γ'. 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. ε'. 15-23 καὶ στ'. 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου

τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύνουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, βασιλεῖς, καὶ σύνετε· μάθετε, δικασταί, περάτων γῆς· ἐνωτίσασθε, οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ τοῦ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.
(Κεφ. δ', 7-15).

Δίκαιος ἐάν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται· πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος τῷ Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς, ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ὁσίοις αὐτοῦ.

Εἰς τὴν Λιτὴν Ἰδιόμελα.
Ἦχος α'.

Ἀπὸ νεότητος Χριστῷ σεαυτὸν ἀναθέμενος,
τῷ κόσμῳ ἐσταύρωσαι τῇ ἀπαρνήσει τῶν γεηρῶν,
Ἐφραὶμ παμμακάριστε·
καὶ ἀπαθείας τοὺς καρποὺς γεωργήσας,
ὡς κατάκαρπος ἄμπελος,
εὐφραίνεις τὰς ψυχὰς ἡμῶν τῇ τοῦ λόγου γλυκύτητι,

www.tezaurliturgic.ro

πράξει καὶ θεωρίᾳ διαλάμπων·
καὶ τῶν παθῶν ἐξαίρων τὸν γνόφον,
τῆς μελλούσης ζωῆς τὰ ἀγαθὰ
μυσταγωγεῖς τοὺς βοῶντας· Κύριε δόξα σοι.

Ἦχος β΄.

Ἀσκητικῇ ἐκλάμπων πολιτείᾳ,
ἐναρέτων πράξεων τύπος καὶ πάσης ἀρετῆς
ὑπόδειγμα
ἀνεδείχθης, Πάτερ Ὅσιε·
διὰ Χριστὸν γὰρ πτωχεύσας,
ἐπλουτίσθης θείῳ Πνεύματι
καὶ προσύλων ἰδεῶν τὸν νοῦν καθάρας,
τῆς ἀπαθείας ἐκφαίνεις τὸ κάλλος
καὶ ταπεινώσεως τὸ ὕψος·
καὶ στόμα θεῖον γενόμενος, ὡς φησὶν ὁ Προφήτης,
διδασκαλίαις θείαις ῥυθμίζεις πρὸς ἠθῶν εὐπρέπειαν
καὶ θείου φόβου τὴν κτῖσιν καὶ ἀρετῶν τελειότητα.
Ἀλλ' ὦ, Πάτερ Ἐφραὶμ Θεόσοφε,
πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

Ἦχος γ΄.

Τῇ ἐπομβρίᾳ τοῦ Πνεύματος
μυστικῶς καταρδευόμενος,
ποταμὸς κατάῤῥυτος ναμάτων θείων
ἀνεδείχθης, Ἐφραὶμ Ὅσιε·
ἀσκητικοῖς γὰρ ἱδρῶσι
πάντα ῥύπον παθῶν καθάρας,
ὕδωρ τὸ ἁλλόμενον εἰς ζωὴν αἰώνιον
τοῖς θεοσόφοις λόγοις σου
παρέχεις ταῖς ψυχαῖς ἡμῶν·
καὶ τῆς κρίσεως τὴν ὥραν προφαίνων,
πάντας διεγείρεις πρὸς μετάνοιαν
καὶ τῷ Σωτῆρι κράζειν·

Κύριε, ἀξίωσον ἡμᾶς τῆς οὐρανίου βασιλείας σου
πρεσβείαις τοῦ Ὁσίου σου.

Ἦχος δ΄.

Προφητικῶς καταβρέχων τὴν στρωμνὴν τοῖς δάκρυσι
καὶ μελέτην βίου ποιούμενος τὴν μετάνοιαν,
τῆς κρίσεως τὸν φόβον ἔργοις ἡμῖν
καὶ διὰ λόγων ὑπέδειξας.
Διὸ τὴν σὴν τιμῶμεν ἅπαντες
συνελθόντες, παμμάκαρ, μνήμην
παραδόξων πραγμάτων
αὐτουργέ, Ἐφραὶμ ἀοίδιμε,
καὶ νῦν δυσωποῦμέν σε
πρέσβευε Χριστῷ τῷ Θεῷ,
ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος β΄.

Ὥσπερ φοῖνιξ Δαβιτικῶς ἐξανθήσας, Ὅσιε Πάτερ,
τὰς γλώσσας τῶν βλασφήμων ἐξέκοψας
ἐν τῇ μαχαίρᾳ τῶν λόγων σου, Ἐφραίμ,
τὰς ἀβύσσους τῶν παθῶν
δι' ἐγκρατείας ἐξήρανας,
ὄργανον ἀνεδείχθης τοῦ Ἁγίου Πνεύματος,
τοῦ Σταυροῦ τὸ ὅπλον ἀναλαβών.
Χριστὸν ἀπαύστως δυσώπει ὑπὲρ ἡμῶν
τῶν ἐπιτελούντων τὴν πανέορτον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου,
εἰς σὲ ἀνατίθημι·
Μήτηρ τῆς ζωῆς,
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

www.tezaurliturgic.ro

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.
Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ θεοφόρος Ἐφραὶμ
τῆς ἐγκρατείας ὁ λειμὼν ὁ μυρίπνοος
καὶ μύστης τῆς ἀπαθείας
καὶ θησαυρὸς ἀληθὴς
ταπεινοφροσύνης ἐνδιαίτημα·
τὸ σκεῦος τὸ πάγχρυσον
ἀρετῶν τῆς ἀσκήσεως
ἀκτημοσύνης θαυμαστὴ ὑποτύπωσις
θείου Πνεύματος τὸ εὐάρμοστον ὄργανον·
λύχνος ὁ παμφαέστατος,
τοῦ λόγου τῆς χάριτος
ὁ ἑωσφόρος ὁ μέγας
τῆς ἐν Χριστῷ τελειότητος.
Ἀπαύστως δυσώπει,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις ὁ θεόφορος Ἐφραὶμ
βίου ἀμέμπτου ἡ πολύφορος ἄμπελος,
ὡς τοῦτο κατεῖδες, Πάτερ,
ἐν νεανίσκοις τελῶν
καὶ ταῖς ἀρεταῖς σου κατεκάλυψας·
τῆς γῆς τὰ πληρώματα
ἐφαπλώσει, μακάριε,
τῇ τῶν κλημάτων, ἐξ ὧν γλεῦκος σωτήριον
πᾶσιν ἔσταξεν, ἐνεργείᾳ τῆς χάριτος
μέθην ἐξαῖρον ἅπασαν
παθῶν τὴν ψυχόλεθρον
καὶ τὰς δυνάμεις εὐφραῖνον,
τῶν καρδιῶν ἡμῶν, Ὅσιε.
Καὶ νῦν ἐκδυσώπει,
ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον,
ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Χαίροις ὁ θεοφόρος Ἐφραίμ,
ὁ ἐν ἐρήμῳ βιοτεύσας ὡς ἄγγελος,
ἐντεῦθεν Ἄγγελοι θεῖοι ὡς ἐθεάθη τινὶ
ἀοράτως βίβλον θείας γνώσεως
λαμπρῶς ἐνεχείρισαν
ὡς Θεοῦ σοι θεράποντι
καὶ ἐπλατύνθη, ὡς φησὶν ὁ Δαβὶδ σαφῶς,
τὸ θεόσοφον καὶ μακάριον στόμα σου·
ὅθεν πέλαγος ἔβλυσας
καὶ ῥεῖθρα σωτήρια
διδασκαλίας ἁγίας
καὶ διδαχῶν θείου Πνεύματος·
ὧν, Πάτερ, τρυφῶντες,
ἀναγόμεθα πρὸς ὕψος, ἀγάπης κρείττονος.

Δόξα. Ἦχος πλ. β΄.

Ἀσκητικῶς πολιτευσάμενος,
διδασκαλίας τὸ τάλαντον ἐδέξω
παρὰ Χριστοῦ τοῦ Θεοῦ, Ἐφραὶμ Πάτερ Ὅσιε·
ὅθεν τῇ πλημμύρᾳ τοῦ λόγου
τῆς Ἐκκλησίας τὰς αὔλακας προφητικῶς μεθύσκεις
καὶ τῶν ψυχῶν τόν ῥύπον ἐκπλύνεις
καὶ κατανύξεως φωτὶ τὸν νοῦν πυρσεύεις·
ἡ καθαρά σου γὰρ ζωὴ ὡς ἥλιος ἔλαμψεν
πρὸς δόξαν Χριστοῦ, τοῦ σὲ λαμπρῶς δοξάσαντος.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἄμπελος ἡ ἀληθινὴ
ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς·
σὲ ἱκετεύομεν· πρέσβευε, Δέσποινα,
μετὰ τῶν Ἀποστόλων

καὶ πάντων τῶν Ἁγίων,
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὰ Ἀπολυτίκια.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Τὴν τοῦ Πνεύματος χάριν οὐρανόθεν δεξάμενος
εὐσεβείας ἐδείχθης θεοφόρος διδάσκαλος
καὶ ῥείθροις τῶν ἁγίων διδαχῶν,
ἀρδεύεις τὰς καρδίας τῶν πιστῶν·
διὰ τοῦτό σε τιμῶμεν, Πάτερ Ἐφραίμ,
ἀπὸ ψυχῆς βοῶντές σοι·
δόξα τῷ σὲ δοξάσαντι Χριστῷ,
δόξα τῷ σὲ στεφανώσαντι,
δόξα τῷ βεβαιοῦντι διὰ σοῦ ἡμῶν τὴν διάνοιαν.

Ἕτερον. Ἦχος γ΄. Θείας πίστεως.

Ῥεῖθρον ἄυλον ἐν τῇ ψυχῇ σου
τὸν ζωήρρυτον πλουτήσας φόβον,
κατανύξεως κρατὴρ ἀναδέδειξαι·
ὅθεν ἡμᾶς πρὸς ζωῆς τελειότητα
τοῖς ἱεροῖς σου ῥυθμίζεις διδάγμασιν.
Ἐφραὶμ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε,
δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν
ἀνυμνοῦμεν Θεοτόκε Παρθένε·
ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ
ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν
τὸ διὰ σταυροῦ καταδεξάμενος πάθος
ἐλυτρώσατο ἡμᾶς
ἐκ φθορᾶς ὡς φιλάνθρωπος.



ΛΟΓΟΣ ΕΙΣ ΤΗΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΚΥΡΙΟΥ ΚΑΙ ΠΕΡΙ ΤΗΣ ΣΥΝΤΕΛΕΙΑΣ, ΚΑΙ ΕΙΣ ΤΗΝ ΠΑΡΟΥΣΙΑΝ ΤΟΥ ΑΝΤΙΧΡΙΣΤΟΥ

Εὐλόγησον Πάτερ

Πῶς ἐγὼ ὁ ἐλάχιστος καὶ ἁμαρτωλὸς Ἐφραίμ, καὶ πλήρης πλημμελημάτων, θέλω δυνηθῆ νὰ διηγηθῶ τὰ ὑπὲρ τὴν δύναμίν μου! Ἀλλ' ἐπειδὴ ὁ Σωτὴρ διὰ τῆς εὐσπλαγχνίας του τοὺς ἀγραμμάτους σοφίαν ἐδίδαξε, καὶ δι' αὐτῶν τοὺς πανταχοῦ πιστοὺς κατεφώτισε, θέλει ἐνδυναμώση καὶ ἡμῶν τὴν γλῶσσαν πρὸς ὠφέλειαν καὶ οἰκοδομήν, καὶ ἐμοῦ τοῦ λέγοντος καὶ πάντων τῶν ἀκροατῶν. Θὰ λαλήσω δὲ μὲ ὀδύνας, καὶ θὰ εἴπω μὲ στεναγμούς, περὶ τῆς συντελείας τοῦ κόσμου τούτου, καὶ περὶ τοῦ ἀναιδεστάτου καὶ φοβεροῦ Δράκοντος, ὅστις μέλλει νὰ ταράξῃ πᾶσαν τὴν ὑπὸ τὸν οὐρανὸν κτίσιν, καὶ νὰ ἐμβάλῃ δειλίαν καὶ ὀλιγωρίαν καὶ δεινὴν ἀπιστίαν εἰς τὰς καρδίας τῶν ἀνθρώπων καὶ νὰ ποιήσῃ τέρατα καὶ σημεῖα καὶ φόβητρα, ὥστε, ἐὰν δυνηθῇ, νὰ πλανήσῃ καὶ τοὺς ἐκλεκτούς, καὶ νὰ ἀπατήσῃ πάντας διὰ ψευδῶν σημείων καὶ διὰ φαντασμῶν τεράτων, ὑπὸ αὐτοῦ γενομένων. Διότι κατὰ συγχώρησιν τοῦ ἁγίου Θεοῦ λαμβάνει ἐξουσίαν ν' ἀπατήσῃ τὸν κόσμον, διότι ἐπληθύνθη ἡ ἀσέβεια τοῦ κόσμου, καὶ πανταχοῦ διάφορα κακὰ πράττονται...

Μέγας εἶναι ὁ ἀγών, ἀδελφοί, μάλιστα δὲ εἰς τοὺς πιστούς, κατὰ τοὺς καιροὺς ἐκείνους, ὅταν γίνωνται σημεῖα καὶ τέρατα ὑπ' αὐτοῦ τοῦ Δράκοντος ἐν πολλῇ ἐξουσίᾳ· ὅταν πάλιν δεικνύῃ ἑαυτὸν ὡς Θεὸν διὰ φοβερῶν φαντασμάτων, καὶ ἵπταται

www.tezaurliturgic.ro

εἰς τὸν ἀέρα, καὶ πάντες οἱ δαίμονες σηκώνονται εἰς τὸν ἀέρα, ὡς ἄγγελοι, ἔμπροσθεν τοῦ τυράννου... Ὅταν ἴδῃ τὴν ἀπερίγραπτον ἐκείνην θλῖψιν, ἥτις γίνεται πανταχοῦ εἰς πᾶσαν ψυχήν, ἡ ὁποία δὲν ἔχει τελείως παραμυθίαν οὔτε πάλιν ἄνεσιν ἐν γῇ καὶ θαλάσσῃ· ὅταν ἴδῃ ὅτι συνταράσσεται ὁ σύμπας κόσμος, καὶ φεύγει ἕκαστος διὰ νὰ κρυβῇ εἰς τὰ ὄρη, καὶ ἄλλος μὲν ἀποθνήσκει τῆς πείνης, ἄλλος δὲ ἀναλύεται ὡς κηρὸς ἐν δεινῇ θλίψει, καὶ οὐδεὶς ὑπάρχει ὁ ἐλεῶν· ὅταν ἴδῃ ἅπαντα τὰ πρόσωπα δακρύοντα καί μετά πόθου ἐρωτῶντας τούς ἀνθρώπους, μήπως ἀκούεται λόγος Θεοῦ ἐπὶ τῆς γῆς; καὶ ἀκούῃ οὐδαμοῦ. Τίς θέλει ὑποφέρει τὰς ἡμέρας ἐκείνας; Τίς δὲ θὰ ὑπομείνῃ τὴν θλῖψιν τὴν ἀφόρητον; ὅταν ἴδῃ σύγχυσιν τῶν λαῶν, οἱ ὁποῖοι ἔρχονται ἀπὸ τῶν περάτων τῆς γῆς εἰς τὴν θέαν τοῦ οὐρανοῦ, καὶ ἴδῃ ὅτι πολλοὶ προσκυνοῦσιν ἔμπροσθεν τοῦ τυράννου καὶ κράζουσι μετὰ τρόμου ὅτι σὺ εἶσαι ὁ Σωτὴρ ἡμῶν... Τίς εἶναι ἔχων οὕτω ἀδαμαντίνην ψυχήν, ὥστε νὰ ὑποφέρῃ γενναίως ἅπαντα τὰ σκάνδαλα; Τίς ἄρα ὁ ἄνθρωπος αὐτός, ὡς προεῖπον, ὥστε νὰ μακαρίσωσιν αὐτὸν πάντες οἱ ἄγγελοι;

Ἐγώ, φιλόχριστοι καὶ τέλειοι ἀδελφοί, ἐφοβήθην ἐξ αὐτῆς τῆς ἐνθυμήσεως τοῦ Δράκοντος, μελετῶν καθ' ἑαυτὸν τὴν θλῖψιν, ἥτις μέλλει νὰ γίνῃ εἰς τοὺς ἀνθρώπους κατὰ τοὺς καιροὺς ἐκείνους, διότι αὐτὸς ὁ Δράκων εἶναι μιαρὸς καὶ φοβερὸς εἰς τὸ γένος τῶν ἀνθρώπων καὶ μάλιστα γίνεται πικρότερος εἰς τοὺς δυναμένους νὰ νικῶσι τὰ φαντάσματα αὐτοῦ. Διότι τότε θὰ εὑρεθῶσι πολλοὶ εὐάρεστοι εἰς τὸν Θεὸν δυνάμενοι νὰ σωθῶσι εἰς τὰ ὄρη καὶ εἰς τὰ βουνά, καὶ εἰς τοὺς ἐρήμους τόπους μετὰ πολλῶν δεήσεων καὶ ὑπερβολικῶν κλαυθμῶν. Διότι ὁ ἅγιος Θεός, θεωρῶν αὐτοὺς εἰς τοιοῦτον ἀπερίγραπτον κλαυθμὸν καὶ εἰλικρινῆ πίστιν, εὐσπλαγχνίζεται αὐτούς, ὡς φιλόστοργος πατήρ, καὶ διατηρεῖ αὐτοὺς ὅπου ἐκρύβησαν· διότι ὁ παμμίαρος δὲν παύει τοῦ νὰ ζητῇ τοὺς ἁγίους κατὰ γῆν καὶ θάλασσαν, νομίζων, ὅτι θέλει βασιλεύσει τοῦ λοιποῦ ἐπὶ τῆς γῆς καὶ πάντας ὑποτάσσει...

Ἐάν τις ἔχῃ δάκρυα καὶ κατάνυξιν ἂς δεηθῇ εἰς τὸν Κύριον, διὰ νὰ ῥυσθῶμεν ἀπὸ τὴν θλῖψιν, ἡ ὁποία μέλλει νὰ ἔλθῃ εἰς τὴν γῆν· διότι θὰ γίνωσι κατὰ τόπους λιμοί, σεισμοί, καὶ θάνατοι διάφοροι ἐπὶ τῆς γῆς. Γενναία θὰ εἶναι ἡ ψυχή, ἥτις θὰ δυνηθῇ νὰ κρατήσῃ ἑαυτὴν ἀπηλλαγμένην ἀπὸ τὰ σκάνδαλα ταῦτα. Διότι ἐὰν εὑρεθῇ ἄνθρωπος ν' ἀδιαφορῇ ὀλίγον, εὔκολα πολιορκεῖται καὶ γίνεται αἰχμάλωτος τοῦ Δράκοντος τοῦ πονηροῦ καὶ δολίου, καὶ ὁ τοιοῦτος εὑρίσκεται ἀσυγχώρητος εἰς τὴν κρίσιν, διότι ἐπίστευσεν εἰς τὸν Τύραννον ἑκουσίως... Προσέχετε, ἀδελφοί μου, τὴν ὑπερβολὴν τοῦ Θηρίου, διότι μεταχειρίζεται διάφορα τεχνάσματα πονηρίας. Ἄρχεται ἀπὸ τὴν γαστέρα, ἵνα ὅταν τις στενοχωρηθῇ μὴ ἔχων φαγητά, ἀναγκασθῇ νὰ λάβῃ τὴν σφραγῖδα ἐκείνου· ὄχι ὡς ἔτυχεν εἰς πᾶν μέρος τοῦ σώματος, ἀλλ' εἰς τὴν δεξιὰν χεῖρα καὶ εἰς τὸ μέτωπον, διὰ νὰ μὴ ἔχῃ ἐξουσίαν ὁ ἄνθρωπος νὰ κάμῃ μὲ αὐτὴν τὸ σημεῖον τοῦ σταυροῦ, μήτε πάλιν εἰς τὸ μέτωπον νὰ σημειώσῃ τὸ ἅγιον ὄνομα τοῦ Κυρίου. Διότι γνωρίζει ὁ ἄθλιος, ὅτι ὅταν ὁ σταυρὸς τοῦ Κυρίου σφραγισθῇ ἐπὶ τοῦ ἀνθρώπου λύει πᾶσαν τὴν δύναμιν τοῦ Ἐχθροῦ, καὶ διὰ τοῦτο σφραγίζει τὴν δεξιὰν τοῦ ἀνθρώπου.

Λοιπόν, ἀδελφοί μου φρικτὸς εἶναι ὁ ἀγὼν εἰς ὅλους τοὺς φιλοχρίστους ἀνθρώπους, ἵνα μέχρις ὥρας τοῦ θανάτου μὴ δειλιάσωσι, μηδὲ ἀμελήσωσιν, ὅταν χαράσσῃ ὁ Δράκων τὴν σφραγῖδά του, ἀντὶ τοῦ σταυροῦ τοῦ Σωτῆρος. Διότι πάντα τρόπον μεταχειρίζεται, ἵνα οὐδόλως ὀνομάζηται τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν καὶ Σωτῆρος εἰς τὸν καιρὸν τοῦτον. Τοῦτο δὲ κάμνει φοβούμενος καὶ τρέμων τὴν ἁγίαν δύναμιν τοῦ Σωτῆρος ἡμῶν. Διότι ἐάν τις δὲν σφραγίζηται μὲ τὴν σφραγῖδα ἐκείνου, δὲν γίνεται αἰχμάλωτος εἰς τὰ φαντάσματα ἐκείνου οὔτε ὁ Κύριος ἀπομακρύνεται ἀπ' αὐτοῦ, ἀλλὰ τὸν φωτίζει καὶ τὸν σύρει πρὸς ἑαυτόν. Πρέπει νὰ ἐννοήσωμεν, ἀδελφοί, μετὰ πάσης ἀκριβείας, ὅτι τὰ φαντάσματα τοῦ Ἐχθροῦ εἶναι ἀποτρόπαια. Ὁ δὲ Κύριος ἡμῶν ἔρχεται μὲ γαλήνην διὰ νὰ ἀποκρούσῃ δι'

www.tezaurliturgic.ro

ἡμᾶς τὰ τεχνάσματα τοῦ Θηρίου... Ἂς ἀποκτήσωμεν λογισμὸν ἀμετάθετον καὶ σταθερότητα καὶ τότε ἀπομακρύνεται ἀφ' ἡμῶν ὁ ἀσθενὴς Ἐχθρός, μὴ ἔχων τι νὰ κάμῃ. Ἐγὼ ὁ ἐλάχιστος παρακαλῶ ὑμᾶς, ἀδελφοὶ φιλόχριστοι, ἂς μὴ γινώμεθα μαλθακοί, ἀλλὰ μᾶλλον δυνατοὶ μὲ τὴν δύναμιν τοῦ Χριστοῦ, διότι ἀπαραίτητος ἀγὼν εἶναι ἐπὶ θύρας· ἂς ἀναλάβωμεν λοιπὸν τὸν θυρεὸν τῆς πίστεως... Ἂς μάθωμεν, ὦ φίλοι, μὲ ποῖον σχῆμα ἔρχεται εἰς τὴν γῆν ὁ ἀναίσχυντος Ὄφις. Ἐπειδὴ ὁ Σωτήρ, θέλων νὰ σώσῃ τὸ ἀνθρώπινον γένος, ἐτέχθη ἐκ Παρθένου, καὶ ἐν σχήματι ἀνθρώπου ἐπάτησε τὸν Ἐχθρὸν μὲ τὴν ἁγίαν δύναμιν τῆς Θεότητος Αὐτοῦ, ἠθέλησε καὶ οὗτος ν' ἀναλάβῃ τὸ σχῆμα τῆς αὐτοῦ παρουσίας διὰ νὰ μᾶς ἀπατήσῃ. Ὁ δὲ Κύριος ἡμῶν θὰ ἔλθῃ εἰς τὴν γῆν ἐν νεφέλαις φωτειναῖς, ὡς ἀστραπὴ φοβερά, ὁ δὲ Ἐχθρὸς δὲν θὰ ἔλθῃ τοιουτοτρόπως διότι εἶναι ἀποστάτης. Γεννᾶται μὲν ἀκριβῶς ἐκ κόρης μιαρᾶς, ἀλλὰ δὲν σαρκοῦται τοιουτοτρόπως. Θὰ ἔλθῃ δὲ ὁ Παμμίαρος ἐν σχήματι τοιούτῳ, ὡς κλέπτης, διὰ νὰ ἀπαιτήσῃ τὰ σύμπαντα. Θὰ εἶναι ταπεινός, ἥσυχος, θὰ μισῇ τὴν ἀδικίαν, θὰ ἀποστρέφηται τὰ εἴδωλα, θὰ προτιμᾷ τὴν εὐσέβειαν, ἀγαθός, φιλόπτωχος, εὐειδὴς καθ' ὑπερβολήν, εὐκατάστατος, ἱλαρὸς εἰς ὅλους, θὰ τιμᾷ πολὺ τὸ γένος τῶν Ἰουδαίων, διότι αὐτοὶ προσμένουσι τὴν ἔλευσιν ἐκείνου. Μεταξὺ δὲ πάντων τούτων θὰ ἐκτελῇ σημεῖα καὶ τέρατα, φόβητρα μὲ πολλὴν ἐξουσίαν, θὰ προσπαθῇ δολίως νὰ ἀρέσῃ εἰς ὅλους... θὰ ἐξαπατᾷ τὸν κόσμον ὑπὸ τὸ πρόσχημα τῆς εὐταξίας, ἕως οὗ βασιλεύσῃ. Ὅταν λοιπὸν ἴδωσι λαοὶ πολλοὶ καὶ δῆμοι τοιαύτας ἀρετὰς καὶ δυνάμεις, ἑνοῦνται ὅλοι συγχρόνως μὲ μίαν γνώμην, καὶ μὲ χαρὰν μεγάλην κηρύσσουσιν αὐτὸν βασιλέα, λέγοντες μεταξύ των. Μήπως ἄρα εὑρίσκεται ἄνθρωπος ἄλλος τόσον ἀγαθὸς καὶ δίκαιος; Ἀνορθοῦται δὲ εὐθέως ἡ βασιλεία ἐκείνου, καὶ θὰ πατάξῃ μεθ' ὑμῶν τρεῖς βασιλεῖς μεγάλους. Ἔπειτα ὑψοῦται ἡ καρδία του καὶ θὰ ἐμέσῃ ὁ Δράκων τὴν πικρότητά του. Ταράσσων δὲ τὴν οἰκουμένην κινεῖ τὰ πέρατα... ὄχι πλέον ὡς εὐλαβής, ἀλλὰ πολὺ αὐ-

στηρὸς εἰς ὅλα· ἀπότομος, ὀργίλος, θυμώδης, ἀκατάστατος, φοβερός, ἀηδής, μισητός, βδελυκτός, ἀνήμερος, ἀλάστωρ, ἀναιδής, καὶ προσπαθῶν νὰ ἐμβάλῃ εἰς τὸν βόθρον τῆς ἀσεβείας ὅλον τὸ ἀνθρώπινον γένος. Πληθύνει σημεῖα ψευδῶς καὶ ὄχι ἀληθῶς· καὶ ἐνῷ παρίσταται πολὺς λαὸς καὶ εὐφημεῖ αὐτόν, βάλλει φωνὴν ἰσχυράν, ὥστε νὰ σαλευθῇ ὁ τόπος, ἐπὶ τοῦ ὁποίου ἵστανται οἱ ὄχλοι, λέγων· Γνωρίσατε ὅλοι οἱ λαοὶ τὴν δύναμίν μου καὶ τὴν ἐξουσίαν. Μεταθέτει ὄρη, καὶ ἀνάγει νήσους ἀπὸ τὴν θάλασσαν μὲ πλάνην καὶ φαντασίαν· καὶ ἐνῶ πλανᾷ τὸν κόσμον καὶ φαντάζῃ τὰ σύμπαντα, πολλοὶ θὰ δοξάζωσι καὶ θὰ πιστεύσωσιν αὐτὸν ὡς Θεὸν ἰσχυρόν.

Τότε θὰ θρηνῇ δεινῶς καὶ θὰ στενάζῃ πᾶσα ψυχή· τότε ὅλοι θὰ ὑποφέρωσι θλῖψιν ἀπαραμύθητον, ἡ ὁποία θὰ κατέχῃ αὐτοὺς νύκτα καὶ ἡμέραν, καὶ δὲν θὰ εὑρίσκωσιν οὐδαμοῦ παρηγορίαν. Τότε θὰ ἀποθνήσκωσι τὰ νήπια εἰς τοὺς κόλπους τῶν μητέρων καὶ πάλιν ἡ μήτηρ θὰ ἀποθνήσκῃ ἐπάνω εἰς τὸ παιδίον καὶ ὁ πατὴρ μετὰ τῆς γυναικὸς καὶ τῶν τέκνων του θ' ἀποθνήσκῃ εἰς τὰς ἀγορὰς καὶ δὲν θὰ ὑπάρχῃ τις νὰ θάψῃ αὐτοὺς καὶ νὰ τοὺς βάλῃ εἰς μνῆμα...

Διὰ τοῦτο εἶπεν εἰς ἡμᾶς ὁ Κύριος· Γρηγορεῖτε δεόμενοι ἀδιαλείπτως νὰ διαφύγητε τὴν θλίψιν· θὰ εἶναι δυσωδία ἐν θαλάσσῃ, δυσωδία ἐπὶ τῆς γῆς, λιμοί, σεισμοί, ἐν θαλάσσῃ σύγχυσις, ἐπὶ τῆς γῆς σύγχυσις, ἐν θαλάσσῃ φόβητρα, φόβητρα ἐπὶ τῆς γῆς. Χρυσὸς πολὺς καὶ ἄργυρος καὶ μεταξωτὰ ἱμάτια, ἀλλὰ δὲν θέλουσιν ὠφελήσει εἰς τὴν θλίψιν ἐκείνην καὶ πάντες οἱ ἄνθρωποι, μακαρίζουσι τοὺς ὅσους ἀπέθανον πρὶν ἔλθῃ ἡ μεγάλη θλῖψις ἐπὶ γῆς... Πάντες σπουδάζουσι νὰ διαφύγωσι καὶ νὰ κρυβῶσιν, ἀλλ' οὐδαμοῦ εὑρίσκουσι τόπον διὰ νὰ κρυβῶσιν ἐκ τῆς θλίψεως. Πρὸς δὲ τούτοις μετὰ τοῦ λιμοῦ καὶ τῆς θλίψεως καὶ τοῦ φόβου εὑρίσκωνται θηρία καὶ ἑρπετὰ δάκνοντα· ἔσωθεν φόβος καὶ ἔξωθεν τρόμος καὶ ἐν νυκτὶ καὶ ἐν ἡμέρᾳ θνησιμαῖα κεῖνται εἰς τὰς πλατείας. Εἰς τὰς πλατείας δυσωδία, εἰς τὰς οἰκίας δυσωδία, εἰς τὰς πλατείας πεῖνα καὶ

www.tezaurliturgic.ro

δίψα εἰς τὰς οἰκίας πεῖνα καὶ δίψα· εἰς τὰς πλατεῖας φωνὴ κλαυθμοῦ εἰς τὰς πλατείας θόρυβος, εἰς τὰς οἰκίας θόρυβος. Εἷς ἕκαστος μετὰ κλαυθμοῦ συναντᾷ τὸν ἕτερον· πατὴρ τὸ τέκνον καὶ ὁ υἱὸς τὸν πατέρα, μήτηρ τὴν θυγατέρα· φίλοι μετὰ φίλων ἐναγκαλισθέντες ἀποθνήσκουσιν...

Εἰς ἐκείνας τὰς ἡμέρας θὰ γίνῃ μεγάλη ἀνάγκη ἐκ τῆς πολλῆς στενοχωρίας τοῦ Δράκοντος καὶ τοῦ φόβου καὶ τοῦ σεισμοῦ καὶ τοῦ ἤχου τῆς θαλάσσης καὶ τοῦ λιμοῦ καὶ τῆς δίψης καὶ τῶν δηγμάτων τῶν θηρίων. Πάντες δὲ οἱ λαβόντες τὴν σφραγῖδα τοῦ Ἀντιχρίστου καὶ προσκυνήσαντες αὐτὸν ὡς Θεόν, δὲν θέλουσιν ἔχει μερίδα εἰς τὴν βασιλείαν τοῦ Χριστοῦ, ἀλλὰ μετὰ τοῦ Δράκοντος θὰ βληθῶσιν εἰς τὴν γέενναν. Μακάριος ὁ εὑρεθεὶς πανάγιος καὶ πάμπιστος καὶ ἔχων δεδομένην τὴν καρδίαν αὐτοῦ πρὸς τὸν Θεὸν ἀδιστάκτως, διότι ἀφόβως θὰ ἀποκρούσῃ τὰς ἐρωτήσεις τοῦ Πονηροῦ, καταφρονῶν καὶ τὰς βασάνους καὶ τὰς φαντασίας αὐτοῦ. Πρὶν δὲ ταῦτα γίνωσι, θ' ἀποστείλῃ ὁ Κύριος Ἠλίαν τὸν Θεσβίτην καὶ τὸν Ἐνώχ, ὡς εὔσπλαχνος, διὰ νὰ παρακινήσωσιν εἰς τὴν εὐσέβειαν τοῦ γένους τῶν ἀνθρώπων καὶ κηρύξωσι παῤῥησίᾳ τὴν θεογνωσίαν εἰς πάντας τοὺς ἀνθρώπους, διὰ νὰ μὴ πιστεύσωσιν εἰς τὸν Τύραννον ἕνεκα φόβου, καὶ θέλουσι κράζει καὶ λέγει: Πλάνος εἶναι, ὦ ἄνθρωποι, ἂς μὴ φοβηθῇ κανεὶς εἰς αὐτὸν παντελῶς, μηδὲ νὰ ὑπακούσῃ εἰς τὸν θεομάχον· ἂς μὴ φοβηθῇ κανεὶς ἐξ ὑμῶν διότι ταχέως θὰ ἀφανισθῇ. Ἰδοὺ ἔρχεται ἐξ οὐρανοῦ ὁ Κύριος, διὰ νὰ κρίνῃ πάντας ὅσους ἐπείσθησαν εἰς τὰ σημεῖα αὐτοῦ· ἀλλ' ὀλίγοι εἶναι τότε οἱ θέλοντες νὰ ὑπακούσωσι καὶ νὰ πιστεύσωσι εἰς τὸ κήρυγμα τῶν προφητῶν. Ταῦτα δὲ ποιεῖ ὁ Σωτήρ, ἵνα δείξῃ τὴν ἄφατον αὐτοῦ φιλανθρωπίαν· ὅτι οὐδὲ κατὰ τὸν καιρὸν ἐκεῖνον δὲν ἀφήνει τὸ γένος τῶν ἀνθρώπων ἄνευ κηρύγματος, διὰ νὰ ὦσι πάντες ἀναπολόγητοι εἰς τὴν κρίσιν.

Πολλοὶ δὲ τῶν ἁγίων, ὅσοι τότε θὰ εὑρεθῶσιν εἰς τὴν ἔλευσιν τοῦ μιαροῦ, χύνουσι ποταμηδὸν τὰ δάκρυα μετὰ στεναγμῶν πρὸς τὸν Θεὸν τὸν ἅγιον, διὰ νὰ λυτρωθῶσιν ἀπὸ τὸν

Δράκοντα· καὶ φεύγουσι μετὰ μεγάλης σπουδῆς εἰς τὰς ἐρήμους καὶ κρύπτονται εἰς τὰ ὄρη καὶ τὰ σπήλαια μετὰ φόβου· καὶ πασπαλίζουσι χῶμα καὶ στάκτην εἰς τὰς κεφαλάς, παρακαλοῦντες νύκτα καὶ ἡμέραν μετὰ πολλῆς ταπεινώσεως. Καὶ ὁ ἅγιος Θεὸς θέλει χαρίσει τοῦτο εἰς αὐτούς· δηλαδὴ ὁδηγεῖ αὐτοὺς ἡ χάρις εἰς ὡρισμένους τόπους καὶ σώζονται κρυπτόμενοι εἰς τὰς ὀπὰς καὶ τὰ σπήλαια μὴ βλέποντες τὰ σημεῖα καὶ τὰ φόβητρα τοῦ Ἀντιχρίστου. Διότι ἡ ἔλευσις τούτου γίνεται γνωστὴ εἰς τοὺς ἔχοντας τὸν νοῦν προσηλωμένον εἰς τὰ ἄνω· εἰς δὲ τοὺς ἔχοντας τὸν νοῦν εἰς βιωτικὰ πράγματα, καὶ ποθοῦντας τὰ γήϊνα, δὲν θὰ γίνῃ φανερὸν τοῦτο. Διότι ὅστις εἶναι δεδεμένος πάντοτε εἰς βιωτικὰ πράγματα, καὶ ἂν ἀκούσῃ, ἀπιστεῖ καὶ βδελύσσεται τὸν λέγοντα. Οἱ δὲ ἅγιοι θέλουσιν ἐνδυναμωθῆ, διότι πάντοτε ἀπέῤῥιψαν τὴν μέριμναν τοῦ βίου τούτου. Τότε πενθεῖ πᾶσα ἡ γῆ καὶ ἡ θάλασσα· καὶ ὁ ἀὴρ πενθεῖ, συγχρόνως δὲ καὶ τὰ ἄγρια ζῷα μετὰ τῶν πετεινῶν τοῦ οὐρανοῦ· πενθοῦσιν ὄρη, καὶ βουνοὶ καὶ τὰ δένδρα τῶν πεδιάδων· πενθοῦσι δὲ καὶ οἱ φωστῆρες τοῦ οὐρανοῦ διὰ τὸ γένος τῶν ἀνθρώπων, ὅτι πάντες ἐξέκλιναν ἀπὸ τοῦ ἁγίου Θεοῦ καὶ ἐπίστευσαν εἰς τὸν πλάνον, δεχθέντες τὸ σημεῖον τοῦ μιαροῦ καὶ θεομάχου ἀντὶ τοῦ ζωοποιοῦ σταυροῦ τοῦ Σωτῆρος.

Πενθεῖ ἡ γῆ καὶ ἡ θάλασσα, διότι αἰφνιδίως κατέπαυσεν ἡ φωνὴ τῆς ψαλμῳδίας καὶ τῆς προσευχῆς ἐκ στόματος ἀνθρώπου. Πενθοῦσι πᾶσαι αἱ ἐκκλησίαι τοῦ Χριστοῦ πένθος μέγα, διότι δὲν λειτουργεῖται ὁ ἁγιασμὸς καὶ ἡ προσφορά. Ὅταν λοιπὸν συμπληρωθῶσιν οἱ τρεῖς καιροὶ καὶ ἥμισυς τῆς ἐξουσίας καὶ πράξεως τοῦ μιαροῦ καὶ ὅταν ἐκπληρωθῶσι πάντα τὰ σκάνδαλα πάσης τῆς γῆς, θὰ ἔλθῃ ἐπὶ τέλους ὁ Κύριος ὡς ἀστραπὴ ἀστράπτων ἐξ οὐρανοῦ ὁ ἅγιος καὶ ἄχραντος καὶ φοβερὸς καὶ ἔνδοξος Θεὸς ἡμῶν μετὰ δόξης ἀκατανοήτου, προτρεχόντων ἐνώπιον τῆς δόξης αὐτοῦ τῶν ταγμάτων τῶν ἀγγέλων καὶ ἀρχαγγέλων, οἱ ὁποῖοι εἶναι πάντες φλόγες πυρὸς καὶ ποταμὸς πλήρης πυρὸς μετὰ φοβερᾶς ἀνεμοζάλης. Τὰ Χερου-

βὶμ ἔχοντα τὸ ὄμμα κάτω καὶ τὰ Σεραφὶμ ἱπτάμενα καὶ κρύπτοντα τὰ πρόσωπα καὶ τοὺς πόδας εἰς τὰς πυρίνας πτέρυγας θέλουσι κράζει μετὰ φρίκης: Ἐγείρεσθε οἱ κοιμώμενοι. Ἰδού, ἦλθεν ὁ Νυμφίος. Ἀνοίγονται δὲ τὰ μνήματα καὶ ὡς ἐν ῥιπῇ ὀφθαλμοῦ ἐγείρονται πᾶσαι αἱ φυλαὶ καὶ βλέπουσιν εἰς τὸ κάλλος τὸ ἅγιον τοῦ Νυμφίου· καὶ μύριαι μυριάδες καὶ χίλιαι χιλιάδες ἀγγέλων καὶ ἀρχαγγέλων καὶ ἀναρίθμητοι στρατιαὶ χαίρουσι χαρὰν μεγάλην, ἅγιοι δὲ καὶ δίκαιοι καὶ πάντες οἱ μὴ λαβόντες τὴν σφραγῖδα τοῦ Δράκοντος καὶ ἀσεβοῦς ἀγάλλονται. Καὶ ἄγεται ὁ Τύραννος δεδεμένος ὑπὸ ἀγγέλων μετὰ πάντων τῶν δαιμόνων ἐνώπιον τοῦ βήματος· καὶ οἱ λαβόντες τὴν σφραγῖδα αὐτοῦ καὶ πάντες οἱ ἀσεβεῖς καὶ ἁμαρτωλοὶ δεδεμένοι· καὶ δίδει ὁ βασιλεὺς τὴν κατ' αὐτῶν ἀπόφασιν τῆς καταδίκης εἰς τὸ πῦρ τὸ ἄσβεστον. Πάντες δὲ οἱ μὴ λαβόντες τὴν σφραγῖδα τοῦ ἀντιχρίστου καὶ πάντες οἱ ἐν σπηλαίοις ἀγάλλονται μετὰ τοῦ Νυμφίου εἰς τὸν νυμφικὸν θάλαμον τὸν αἰώνιον καὶ οὐράνιον μετὰ πάντων τῶν ἁγίων εἰς ἀπεράντους αἰῶνας τῶν αἰώνων. Ἀμήν.



Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Φωτὶ τῷ νοητῷ λαμπρυνθεὶς τὴν καρδίαν,
ἐξέλαμψας ἡμῖν ὡς ἀστὴρ ἑωσφόρος
ἀκτῖσι τῶν λόγων σου καὶ ζωῆς τῇ λαμπρότητι,
Ἐφραὶμ Ὅσιε, καταπυρσεύων ἀπαύστως
τοὺς τελοῦντάς σου τὴν φωταυγῆ, Πάτερ, μνήμην
καὶ σὲ μακαρίζοντας.

Θεοτοκίον.

Θεὸν ὑπερφυῶς συλλαβοῦσα, Παρθένε,
ἐκύησας ἡμῖν ἐν δυσὶ ταῖς οὐσίαις
τὸν Λόγον τὸν Ὑπέρθεον, Θεὸν ἅμα καὶ ἄνθρωπον,
ἀναλλοίωτον, ἐκ τῶν ἁγνῶν σου αἱμάτων·
ὃν ἱκέτευε ἁμαρτιῶν ἡμῖν δοῦναι
συγχώρησιν, Ἄχραντε.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

www.tezaurliturgic.ro

Τῶν Ὁσίων ἀκρότης καὶ ἐγκαλλώπισμα
καὶ μοναζόντων ἀλείπτης καὶ ὑποφήτης σοφὸς
ἀνεδείχθης ἀληθῶς, Ἐφραὶμ μακάριε,
ἐν ἀσκήσει καθαρᾷ
καὶ συντόνῳ προσευχῇ καὶ δάκρυσιν ἀειῤῥύτοις
ἐν τῇ ἐρήμῳ βιώσας·
διὸ Χριστός σε ἐμεγάλυνε.

Θεοτοκίον.

Ἐξ ἁγνῶν σου λαγόνων ὁ Ὑπερούσιος
οὐσιωθεὶς ὥσπερ οἶδε βροτῶν τὸ φύραμα,
μείνας, Κόρη, ὅπερ ἦν πρὸ τῆς προσλήψεως
ἐκ βαράθρων τῶν παθῶν
πρὸς αἰώνιον ζωὴν ἀνήγαγε, Θεοτόκε,
τοὺς εὐλαβῶς προσκυνοῦντας
τοῦ τοκετοῦ σου τὸ μυστήριον.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ὡς Εὐφράτης νοητὸς ἐκ τῆς Ἐδὲμ τῆς μυστικῆς
προερχόμενος, σοφέ, καταποτίζεις πᾶσαν γῆν
τοῖς τῶν σῶν λόγων ὁρμήμασι, θεοφόρε·
ῥεῖθρα γὰρ ζωῆς ἐκ τῆς κοιλίας σου
ὡς ἔφη ὁ Σωτὴρ ἔβλυσαν, Ὅσιε
καὶ κατευφραίνουσι πᾶσαν διάνοιαν
τῇ νοημάτων γλυκύτητι,
Ἐφραὶμ παμμάκαρ,
Ὁσίων δόξα
καὶ μοναζόντων διδάσκαλε.

Θεοτοκίον.

Ὁ ἀόρατος Θεὸς δι' ἀγαθότητα πολλὴν
σαρκωθεὶς δίχα τροπῆς ἐκ τῆς ἀχράντου σου σαρκός,
διπλοῦς ὡράθη τῷ κόσμῳ ὡς ἐλεήμων
καὶ ἔσωσεν ἡμᾶς ἐκ τῆς ἀρχαίας ἀρᾶς,

νεκρώσας τῷ Σταυρῷ τὸν παλαμναῖον ἐχθρόν·
διὸ τὴν χάριν κηρύττοντες ἅπαντες
ὑμνολογοῦμεν τὴν δόξαν σου.
Ἀλλ', ὦ Παρθένε,
ἀεὶ δυσώπει
σώζεσθαι τοὺς αἰνοῦντάς Σε.

Οἱ Ἀναβαθμοί. Ἦχος δ΄.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη·
ἀλλ' αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον, Σωτήρ μου (δίς).

Οἱ μισοῦντες Σιὼν αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου·
ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμμένοι (δίς).

Δόξα

Ἁγίῳ Πνεύματι πᾶσα ψυχὴ ζωοῦται,
καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται
τῇ τριαδικῇ μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι ἀναβλύζει τὰς τῆς χάριτος ῥεῖθρα ἀρδεύοντα
ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον
ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

www.tezaurliturgic.ro

Εὐαγγέλιον
Ἐκ τοῦ κατὰ Ματθαῖον
κεφ. ια′, 27-30

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Ν′. ψαλμός.

Δόξα.

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, Ἐλεῆμον,
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον
ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Ἦχος πλ. β′.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ὁδι' ἀσκήσεως στερρᾶς εἰς ὕψος ἀνελθὼν ἀπαθείας καὶ νοητὰ κατοπτεύσας μυστήρια, Ἐφραὶμ παμμακάριστε,
τοῦ θείου φόβου τῷ πυρὶ τὰ πάθη ἡμῶν κατάφλεξον καὶ πτέρωσον ἡμῶν τὸν νοῦν τὰ ἄνω ποιεῖν καὶ ζητεῖν, ὡς ἂν ζωῆς αἰωνίου τύχωμεν.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου...
Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου εἰς στ′ καὶ τοῦ Ἁγίου οἱ δύο εἰς η′. Κανὼν πρῶτος τοῦ Ἁγίου, φέρων τήνδε ἀκροστιχίδα:

Ἐφραὶμ μέλπω τὸν νοητὸν Εὐφράτην. Θεοφάνους.

Ὠδὴ α′. Ἦχος πλ. β′. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Εὐφραντικῇ ἐπομβρίᾳ σῶν προσευχῶν
τὴν ψυχήν μου ἄρδευσον
ξηρανθεῖσαν τῷ αὐχμῷ
τῶν παθῶν καὶ λόγον μοι τὴν σὴν
εὐφημοῦντι ἑορτήν, παμμάκαρ, ἔμπνευσον.

Φῶς νοητὸν ἀπαστράψας φωτιστικῶς
ἀνεδείχθης ἥλιος
φεγγοβόλοις ἀρεταῖς
καὶ δογμάτων κάλλεσιν, Ἐφραίμ,
καταυγάζων τῶν πιστῶν ἅπαν τὸ πλήρωμα.

Ρείθροις δακρύων τὴν φλόγαν τὴν τῶν παθῶν
κατασβέσας γέγονας
σκεῦος τίμιον, Ἐφραίμ,
τοῦ Ἁγίου Πνεύματος πηγὰς
ἀναβλύζων διδαχῶν, θεομακάριστε.

Θεοτοκίον.

Ἀδιαφθόρως τὸν Λόγον ἐν σῇ γαστρὶ
δεξαμένη τέτοκας
τὸν λυτρούμενον φθορᾶς
τοὺς αὐτῷ λατρεύοντας ἀεί,
Μητροπάρθενε σεμνή, πύλη τῆς ὄντως ζωῆς.

Κανὼν δεύτερος οὗ ἡ ἀκροστιχίς:
Ἐφραὶμ λιγαίνω τὸν Θεηγόρον. Γερασίμου.

www.tezaurliturgic.ro

Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἐκ τῶν ἀσύλων θησαυρῶν τοῦ Πνεύματος,
Ἐφραὶμ μακάριε,
τὴν πλουσίαν χάριν ἀντλῶν καὶ δεχόμενος,
χάριν μοι θείαν αἴτησαι
ὅπως μέλψω ἀξίως
τὰς ἀρετὰς καὶ τὰ σκάμματα
τῆς θεοειδοῦς πολιτείας σου.

Φλέξας τὰ πάθη τῆς ψυχῆς καὶ σώματος
τοῦ θείου φόβου πυρί,
ὅλης ἐκ καρδίας τὸν Χριστὸν ἠγάπησας
καὶ τούτῳ ἐκ νεότητος
ἠκολούθησας, Πάτερ,
καὶ θείῳ φέγγει κατηύγασαι,
Ὅσιε Ἐφραίμ, παμμακάριστε.

Ῥῆμα ζωῆς ἐν σοὶ οἰκῆσαν, Ὅσιε,
ἐξ ἐπιπνοίας Θεοῦ
θεῖον ὑποφήτην
πολιτείας κρείττονος
καὶ ἀληθῆ διδάσκαλον
ἀρετῶν οὐρανίων,
Πάτερ Ἐφραίμ, σὲ ἀνέδειξεν
πάντας τῷ σῷ λόγῳ εὐφραίνοντα.

Θεοτοκίον.

Ἀπειρογάμως τὸν Χριστὸν ἐκύησας,
τὸν δι' ἡμᾶς καθ' ἡμᾶς
σάρκα γεγονότα
καὶ ἄτρεπτον μείναντα,
Παρθένε Παναμώμητε·
διὸ πάντες ὑμνοῦμεν
τὰ παμφαῆ μεγαλεῖά σου
καὶ τὴν ἀκατάληπτον δόξαν σου.

Καταβασία. Χέρσον ἀβυσσοτόκον...

Ὠδὴ γ΄. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ἁλύος πάσης ἐμπαθοῦς σεαυτὸν ἐκκαθάρας,
ἀνεδείχθης δοχεῖον
ἀρετῶν ὡς ἀληθῶς
καὶ σκεῦος χωρητικὸν χαρισμάτων
τοῦ Ἁγίου Πνεύματος.

Μηδόλως ὕπνον ὀφθαλμοῖς
δεδωκώς, οἶκος ὤφθης τῆς Ἁγίας Τριάδος
καὶ σοφίας θησαυρὸς
τὸν κόσμον καταπλουτῶν
χρυσαυγέσι δόγμασι, μακάριε.

Γνωρίζει ἄλλον σε Χριστοῦ
ἡ σεπτὴ Ἐκκλησία χρυσορρόαν Εὐφράτην,
πελαγίζοντα σοφῶν
δογμάτων ἐπιῤῥοαῖς
καὶ τὴν κτῖσιν πᾶσαν καταρδεύοντα.

Θεοτοκίον.

Ἐν δύο φύσεσιν ὁ εἷς
τῆς Ἁγίας Τριάδος ἐξ ἁγνῶν σου αἱμάτων
σαρκωθεὶς θεοπρεπῶς,
προῆλθε τοὺς ἐξ Ἀδὰμ διασώζων,
Πάναγνε, χρηστότητι.

Δεύτερος. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἁλύος πάσης γεηρᾶς δακρύων ῥείθροις καθάρας
σεαυτὸν δι' ἐγκρατείας συντόνου,
ἐπληρώθης ἀληθῶς, Ἐφραίμ, θείων ἐλλάμψεων
καὶ ἔβλυσας τῷ κόσμῳ,
σοφίας θείας διδάγματα.

www.tezaurliturgic.ro

Μύστης ἁπάσης ἀρετῆς ἀσκητικῆς ἀνεδείχθης,
ἀνελθὼν εἰς ταπεινώσεως ὕψος
καὶ παιδεύεις μοναστῶν καρδίας, Πάτερ Ὅσιε,
πρὸς θείας ἐπιδόσεις
τοῖς ἱεροῖς σου διδάγμασι.

Λελαμπρυσμένος τῷ φωτὶ τῆς πρακτικῆς θεωρίας,
χωρισθεὶς τῶν ἐπιγείων ἐμφρόνως
ὡς πολύφωτος ἀστήρ, Πάτερ Ἐφραίμ, ἀνέτειλας
Χριστοῦ τῇ Ἐκκλησίᾳ
εἰς εὐσεβῶν περιποίησιν.

Θεοτοκίον.

Ἁματόβρυτος πηγὴ ἡ εἰκὼν ἀνεδείχθη
ἐπομβρίᾳ τῆς σῆς χάριτος, Κόρη,
προσπίπτοντες πιστῶς ψυχὰς ἁγιαζόμεθα
καὶ πάσης ἐπηρείας
τοῦ δυσμενοῦς ἐκλυτρούμεθα.

Καταβασία. Τὸ στερέωμα τῶν ἐπὶ σοὶ πεποιθότων...
Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὸν θησαυρὸν τῆς σοφίας τῶν μυστηρίων Χριστοῦ,
τὸν κρατῆρα τὸν θεῖον τῆς κατανύξεως
ἀνυμνήσωμεν, πιστοί, ἐνθέοις ᾄσμασι·
φερωνύμως γὰρ ἀεὶ τὰς καρδίας τῶν πιστῶν
εὐφραίνει ἔπεσι θείοις
Ἐφραὶμ ὡς πράκτωρ καὶ μύστης
τῶν τοῦ Θεοῦ ἀποκαλύψεων.

Θεοτοκίον.

Ἡ Θεὸν ἀπορρήτως κυοφορήσασα
καὶ μετὰ τόκον τὸν θεῖον ἄφθορος μείνασα,
Ἀειπάρθενε Ἁγνὴ Θεοχαρίτωτε,
ἐκ παθῶν φθοροποιῶν καὶ κακίστων ἐννοιῶν

ἀπάλλαξον τὴν ψυχήν μου
καὶ δίδου μοι, Θεοτόκε,
τῆς μετανοίας θερμὰ δάκρυα.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ῥημάτων δύναμις τῶν σῶν διέδραμεν
ἐπὶ πάντα τὸν κόσμον, ὑψοποιῷ
φέγγει ταπεινώσεως
τὴν ἀβλεψίαν τῶν ψυχῶν
ἐκδιώκουσα, μακάριε.

Ἀμέπτως ἤνυσας τὸν βίον, δάκρυσι
σεαυτὸν ἀποπλύνας καὶ τοῦ Κριτοῦ
πᾶσι τὴν ἐπέλευσιν
καθιστορῶν λόγοις σοφοῖς,
θεοφάντορ, ἀξιάγαστε.

Ἰδών σου Κύριος τῆς ταπεινώσεως
τὸ περίδοξον ὕψος, ὑψοποιὸν
λόγον σοι χαρίζεται·
δι᾽ οὗ αἱρέσεων δεινὰ
τεταπείνωται ὑψώματα.

Ῥωσθεὶς τῇ χάριτι τοῦ Παντοκράτορος,
πρὸς ἀρχὰς παρετάξω δαιμονικάς,
Πάτερ, καὶ νενίκηκας,
ὑπὲρ ἡμῶν ἐκδυσωπῶν
τῶν θερμῶς ἀνευφημούντων σε.

Θεοτοκίον.

Ὡς θεῖον τέμενος, ὡς ὄρος ἅγιον,
ὡς πηγὴν ἀφθαρσίας, ὡς ἐκλεκτὴν
μόνην χρηματίσασαν
τῷ πλαστουργῷ ἡμῶν Θεῷ
τὴν Παρθένον μακαρίσωμεν.

www.tezaurliturgic.ro

Δεύτερος. Σύ μου ἰσχύς.

Τνῶσιν Θεοῦ καταπλουτήσας, μακάριε,
τοῦ δολίου ἔγνως τὰ σοφίσματα,
διὰ γυναίου σοι ἀναιδῶς,
Πάτερ, ἐπελθόντος,
ὃ καὶ συνέσει τῶν λόγων σου
πρὸς τρίβον μετανοίας
ἐξ ὁδοῦ ἀπωλείας,
θεοφόρε, Ἐφραίμ, καθωδήγησας.

Ἀποχωρῶν τῆς κοσμικῆς ματαιότητος,
ἐν ἐρήμῳ χαίρων προσεχώρησας
ὡς Ἰωάννης ὁ Βαπτιστὴς
καὶ δακρύων ῥείθροις,
καὶ προσευχαῖς καὶ δεήσεσι
πολύτιμον δοχεῖον
δωρεῶν τῶν ἀΰλων,
θεοφόρε, τοῦ Πνεύματος γέγονας.

Ἰσχὺν λαβὼν παρὰ Θεοῦ Παντοκράτορος,
ἀσθενείας τῆς σαρκὸς ἐκράτησας,
καὶ λαμπρυνθείς, Πάτερ, τὴν ψυχὴν
ὄργανον ἐδείχθης
καὶ θησαυρὸς θείας χάριτος,
καὶ κρήνη πολυχεύμων
ψυχοτρόφων ναμάτων
θεοφόρε, Ἐφραίμ, παναοίδιμε.

Θεοτοκίον.

Νέος Ἀδὰμ ἐτέχθη ἐκ τῶν αἱμάτων σου
ἀπορρήτως ὑπὲρ πᾶσαν ἔννοιαν
ὁ τοῦ ἀνθρώπου δημιουργὸς
καὶ Ἀδὰμ τοῦ πρώτου
τὴν ἁμαρτίαν ἠφάνισεν

ὁ μόνος ἐλεήμων
καὶ ἀνύψωσε, Κόρη,
τοὺς πεσόντας πρὸς ὕψος θεώσεως.

Καταβασία. Ἐκάλυψεν οὐρανούς...

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου.

Ταῖς τῶν δακρύων ἐπιῤῥοαῖς
τὸ τῶν ἡδονῶν ὁλοσχερῶς,
Πάτερ, ἐξήρανας πέλαγος
καὶ τῇ ἀναβλύσει τῶν διδαγμάτων σου
αἱρέσεων χειμάῤῥους,
μάκαρ, κατέκλυσας.

Ὀνοῦς σου νεύσει τῇ πρὸς Θεόν,
Πάτερ λαμπρυνόμενος, Ἐφραίμ,
θεοειδὴς ὅλος γέγονεν,
ἔσοπτρον καθάπερ τοῦ θείου Πνεύματος,
ἀΰλους τὰς ἐμφάσεις ὑποδεχόμενος.

Ναὸς ἐγένου χωρητικός,
Πάτερ, τῆς Τριάδος ἀληθῶς
πεποικιλμένος τῇ χάριτι
καὶ τῇ διαυγείᾳ τῶν καθαρῶν ἀρετῶν
καὶ τῇ τῶν διδαγμάτων ἀκεραιότητι.

Θεοτοκίον.

Νεκρόν με ἔδειξεν ἐν Ἐδὲμ
γεῦσις ἡ τοῦ ξύλου πονηρὰ
ἐπιβουλῇ τῇ τοῦ ὄφεως·
σὺ δὲ ζωοδότην Χριστὸν κυήσασα
ἐζώωσάς με μόνη, Θεοχαρίτωτε.

www.tezaurliturgic.ro

Δεύτερος. Ἵνα τί μὲ ἀπώσω.

Ὥσπερ ἄμπελος ἄλλη
πανταχοῦ ἐξέτεινας, Πάτερ, τὰ κλήματα
τῆς ἐν σοὶ πλουσίας
οἰκησάσης τοῦ Πνεύματος χάριτος
καὶ πᾶσι παρέχεις
τῆς κατανύξεως τὸν οἶνον,
τῶν παθῶν διεκχύσεις ξηραίνοντα.

Τὸν ἰσάγγελον βίον,
Πάτερ, οὐρανίῳ ἀνύων φρονήματι
βίβλον ἀοράτως
οὐρανίου σοφίας εἰσδέδεξαι
παρ' Ἀγγέλου θείου
καὶ ἐξηρεύξω τοῖς ἐν κόσμῳ
ποταμοὺς διδαχῶν, Ἐφραὶμ Ὅσιε.

Ὁλοτρόπως ποθήσας
ἐφετῶν τὸ ἔσχατον, Ἐφραὶμ μακάριε,
πάντας διεγείρεις
τῷ σῷ λόγῳ ποθεῖν θερμῷ ἔρωτι
τοῦ Χριστοῦ τὸ κάλλος
καὶ τῆς ἀλήκτου βασιλείας
τὴν τερπνὴν μετουσίαν καὶ κρείττονα.

Θεοτοκίον.

Νεκρωθέντα ἀπάτῃ,
τὸν Ἀδὰμ ἐζώωσας, Κόρη, τῷ τόκῳ σου,
τὸν γὰρ Ζωοδότην
ὑπὲρ λόγον Χριστὸν ἀπεκύησας·
διὸ ζώωσόν με τῇ ἁμαρτίᾳ νεκρωθέντα,
ὡς ζωῆς, Θεοτόκε, γεννήτρια.

Καταβασία. Ὡς εἶδεν Ἡσαΐας...

Ὠδὴ στ'. Τοῦ βίου τὴν θάλασσαν.

Οὐ ψάμμον θεμέλιον, ἀλλὰ πίστιν ἀῤῥραγῆ
ἡ θεοφόρος θέμενος
ταῖς τοῦ ἐχθροῦ παντοίαις ἐπιβουλαῖς,
ἀκλόνητος ἔμεινεν
ἀηττήτῳ δυνάμει κυβερνώμενος.

Γλῶσσά σου κάλαμος ὀξυγράφου ἀληθῶς
ὡς γραμματέως γέγονεν,
ὑφηγουμένη γνῶσιν πανευσεβῆ,
πλαξὶν ἐγχαράττουσα
καρδιῶν, Πάτερ, νόμον τὸν τοῦ Πνεύματος.

Τὸ σὸν οἱ ἐκπλέοντες τῶν δογμάτων γαληνόν,
Ἐφραὶμ θεόφρον, πέλαγος
τρικυμιῶν λυτροῦνται ψυχοβλαβῶν
καὶ ζάλης αἱρέσεων
ἀνανεύοντες πίστει διασώζονται.

Θεοτοκίον.

Ὁπάσης ἐπέκεινα νοουμένης ὡς Θεὸν
καὶ ὁρωμένης κτίσεως
σωματωθεὶς προῆλθεν ἐκ σῆς γαστρός,
τηρήσας σε ἄφθορον,
ὥσπερ ἦς πρὸ τοῦ τόκου, Θεονύμφευτε.

Δεύτερος. Ἰλάσθητί μοι Σωτήρ.

Θεόφθογγος ἀληθῶς
σάλπιγξ ἐδείχθη τὸ στόμα σου,
διδάγματα ἱερὰ
καὶ λόγον σωτήριον, Ἐφραίμ,
θείῳ Πνεύματι κρουνηδὸν πηγάζον
καὶ εὐφραῖνον τὰς ψυχὰς ἡμῶν.

www.tezaurliturgic.ro

Εἰς οὐρανὸν ἀπὸ γῆς
στῦλον ὁλόφωτον ἔβλεψας
αἰρόμενον ἀληθῶς
τὸν μέγαν Βασίλειον·
ᾧ καὶ προσωμίλησας καὶ ηὐφράνθης, Πάτερ,
τῇ πλουσίᾳ αὐτοῦ χάριτι.

Ἥλιος ὥσπερ λαμπρὸς
τῶν διδαγμάτων ἐφήπλωσας
ἀκτῖνας τὰς μυστικάς,
Ἐφραὶμ Πάτερ Ὅσιε·
πλουσία γὰρ ἄνωθεν χάρις σοι ἐδόθη
ὡς Θεοῦ θείῳ θεράποντι.

Θεοτοκίον.

Τεννήσασα ὑπὲρ νοῦν
σαρκός, Ἁγνή, ὁμοιώματι
τὸν ἐκ μὴ ὄντος τὸ πᾶν
πάλαι ὑποστήσαντα,
ἡμῖν ἀναγέννησιν θείαν ἐδωρήσω,
Θεοτόκε Ἀειπάρθενε.

Καταβασία. Ἐβόησέ σοι...

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς τῆς σοφίας ὑποφήτην θεορρήμονα
καὶ μετανοίας ἀληθῶς σάλπιγγα ἔνθεον
εὐφημοῦμέν σε οἱ δοῦλοί σου, Θεοφόρε.
Ἀλλ' ὡς θεῖος θεωρὸς Χριστοῦ τοῦ βήματος
ἐν τῇ κρίσει ἀκατάκριτόν με φύλαξον,
ἵνα κράζω σοι, χαίροις, Πάτερ Ἐφραίμ, σοφέ.

Ἕτερον. Ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν ἀεὶ προβλέπων τῆς ἐτάσεως,
ἐθρήνεις, Ἐφραίμ, δάκρυα κατάνύξεως·
πρακτικὸς δὲ γέγονας
ἐν τοῖς ἔργοις διδάσκαλος, Ὅσιε.
Ὅθεν, Πάτερ παγκόσμιε,
ῥαθύμους ἐγείρεις πρὸς μετάνοιαν.

Ὁ Οἶκος.

Ἀχνηλατεῖν βουλόμενος, Πάτερ,
τοῦ Προδρόμου ταῖς τρίβοις
ἐκ τοῦ κόσμου μόνος αὐτὸς ἀπάρας,
εἰς ἔρημον κατῴκησας.
Βλέπων σε οὖν οὕτω βιοῦντα ὁ ἐχθρὸς τὸν δίκαιον,
γύναιον πάνυ ἀναιδὲς κατὰ σοῦ διεγείρει
οἰόμενος διὰ τοῦ ἀρχαίου ὅπλου
τὴν σὴν ἀνδρείαν καταβαλεῖν
καὶ τὴν ἁγνείαν μολύνειν σου,
ἵνα μὴ ἐν τοῖς λόγοις καὶ ἔργοις σου
ῥαθύμους ἐγείρεις πρὸς μετάνοιαν.

Συναξάριον.

Τῇ κη'. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου.

Στίχ. Ἤκουσε γλῶτταν ψαλμικῶς, ἣν οὐκ ἔγνω Ἐφραίμ,
ἄνω καλοῦσαν, ὁ γλῶτταν Σύρος.
Εἰκάδι ὀγδοάτῃ Νόες Ἐφραὶμ θυμὸν ἀπηύρων.

Οὗτος γέγονεν ἐξ Ἀνατολῶν, Σύρος τὸ γένος, ἐκ προγόνων τὴν εὐσέβειαν διδαχθείς, ἐν τοῖς χρόνοις Θεοδοσίου τοῦ Μεγάλου. Ἠσπάσατο δὲ ἐξ ἀρχῆς τὸν μοναχικὸν βίον· ᾧ λέγεται θεόθεν ἐκχυθῆναι χάρις, δι' ἧς πάσης κατανύξεως πλεῖστα συγγράμματα ἐκτεθεικώς, πολλοὺς πρὸς ἀρετὴν καθωδήγησε, καὶ τύπος τοῖς ἐφεξῆς ἀσκητικῆς γέγονεν ἀρετῆς. Τελεῖται δὲ ἡ αὐτοῦ Σύναξις ἐν τῷ Μαρτυρίῳ τῆς Ἁγίας Ἀκυλίνης, ἐν τῷ Φιλοξένῳ, πλησίον τοῦ φόρου.
Ταῖς αὐτοῦ πρεσβείαις, Χριστὲ ὁ θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

www.tezaurliturgic.ro

Ὠδὴ ζ΄. Δροσοβόλον μέν.

Νομοθέτης μοναζόντων ἀκριβέστατος
ὤφθης, σεβασμιώτατε,
ὑπαλείπτης τε πρὸς ἐχθρῶν παντοίων συμπλοκάς·
καὶ ἱερὸν ἐπὶ τῆς γῆς,
Πάτερ, μνημόσυνον.

Ἐναρμόνιον τοῦ Πνεύματος, ἀοίδιμε,
ὄργανον ἐχρημάτισας,
ὑπηχούμενον ταῖς αὐτοῦ ἑκάστοτε πνοαῖς
καὶ μέλος σωτήριον ἡμῖν
τῆς μετανοίας μελῳδοῦν
τοῖς ἀνυμνοῦσί τε.

Θεοτοκίον.

Ὑπὲρ λόγον σου ἡ σύλληψις, Θεόνυμφε·
Θεὸν γὰρ Λόγον τέτοκας
τὸν ῥυσάμενον ἀλογίας πάντας τοὺς βροτοὺς
καὶ λόγον παρέχοντα βοᾶν·
Εὐλογητὸς εἶ ὁ Θεὸς
ὁ τῶν Πατέρων ἡμῶν.

Δεύτερος. Θεοῦ συγκατάβασιν.

Ὀνοῦς σου λαμπόμενος
τῇ φωταυγείᾳ τοῦ θείου Πνεύματος,
φωταυγεῖς ὡς βολίδας
σωτηριώδεις λόγους ἀπήστραψας,
τοὺς ἐκβοῶντας, Ἐφραίμ, καταυγάζοντας·
Εὐλογητὸς ὁ Θεὸς
ὁ τῶν Πατέρων ἡμῶν.

Ῥωννύμενος χάριτι
τῇ τοῦ Σωτῆρος, Ἐφραὶμ μακάριε,
τὴν ἰσχὺν τοῦ δολίου
κατετροπώσω στερρᾷ ἀσκήσει σου,
ἀκτημοσύνῃ ἐκλάμπων ὡς ἄσαρκος
καὶ ταπεινώσει πολλῇ
ὡς οὐρανόφρων, σοφέ.

Θεῖος διδάσκαλος
τῶν μοναζόντων, Ἐφραίμ, ὑμνείσθω μοι·
ἐγκρατείας ὁ λύχνος,
τῆς ἀκτησίας πλοῦτος ὁ ἄσυλος
καὶ ἀπαθείας λειμὼν ὁ πανεύοσμος
καὶ ἐναρέτου ζωῆς
γνώμων εὐθύτατος.

Θεοτοκίον.

Νεκρώσας τὸν θάνατον
ὁ ζωῆς ἄρχων καὶ πάντων Κύριος
ὁ ἐκ σοῦ ἀνατείλας,
δι' εὐσπλαχνίαν σαρκὸς παχύτητι
ζωὴν παρέχει ἡμῖν τὴν αἰώνιον
τῇ μεσιτείᾳ τῇ σῇ,
Θεογεννῆτορ Ἁγνή.

Καταβασία. Σὲ τὸν ἐν πυρὶ δροσίσαντα...

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Φωτοφόρος ὡς ἄλλος ἐδείχθης ἥλιος,
διδαγμάτων ἀκτῖνας πέμπων τοῖς πέρασι,
σκότος ἀφεγγὲς ἐκμειώσας, μακάριε,
πάσης ἁμαρτίας
φωτὶ τῆς μετανοίας.

www.tezaurliturgic.ro

Ῥείθροις θείων δογμάτων περικυκλούμενος,
ποταμὸς ὡς ἐξ ἄλλης Ἐδὲμ πεπόρευσαι,
πρόσωπον τῆς γῆς κταρδεύων, θεσπέσιε,
καὶ τῆς ἀσεβείας
ζιζάνια συμπνίγων.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον ὁμολογοῦντές σε,
τοῦ Ἀγγέλου τὸ χαῖρε πίστει βοῶμέν σοι·
μόνη τὴν χαρὰν ἐπὶ γῆς γὰρ ἐκύησας,
Κεχαριτωμένη, ἀεὶ Εὐλογημένη.

Δεύτερος. Ἑπταπλασίως κάμινον.

Τνώμην σοφὴν καὶ ἔμφρονα
καὶ συνέσεως ἔμπλεων
οἷα οὐρανόφρων ἔχων ἐκ νεότητος,
ἀσκήσεως σκάμμασι περιφανῶς διέπρεψας
καὶ διδασκαλίας ἐκομίσω τὸ δῶρον,
δογμάτων ὀρθοδόξων
θεολογῶν τὴν χάριν, Ἐφραίμ,
καὶ διεγείρων
πρὸς γνῶσιν μετανοίας.

Ἐν τῇ ἐρήμῳ ἔλαμψας
ὡς ἀστὴρ οὐρανόφωτος,
ἐγκρατείας πόνοις καὶ ἀμέτροις δάκρυσι
καθάρας τὸ σῶμα σου καὶ τὴν ψυχήν, μακάριε·
ἔνθεν ἐπληρώθης δωρεῶν οὐρανίων,
Ἐφραίμ, ἀνακραυγάζων·
Ἱερεῖς εὐλογεῖτε,
λαὸς ὑπερυψοῦτε
Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥήσεσι τῶν χειλέων σου ἱερῶς φωτιζόμενοι,
Ἐφραὶμ θεοφόρε,
θείας κατανύξεως πληρούμεθα, Ὅσιε,
καὶ πρὸς ἠθῶν σεμνότητα
καὶ πρὸς μετανοίας ὁδηγούμεθα τρίβον,
μυούμενοι ἁπάσης
ἀρετῆς τὰς ἐλλάμψεις
καὶ ταπεινοφροσύνης
τὸ κάλλος καὶ τὸ ὕψος.

Θεοτοκίον.

Ἀνερμηνεύτως τέτοκας καὶ μαζῷ σου ἐθήλασας
καὶ ἐν ταῖς ἀγκάλαις περιέσχες, Ἄχραντε,
τὸν πάντα ἐκτρέφοντα καὶ κραταιῶς συνέχοντα
λύοντα ἀρᾶς
τῆς παλαιᾶς τὴν ὀδύνην
καὶ σώζοντα, Παρθένε,
τοὺς πιστῶς ἐκβοῶντας·
χαῖρε, Εὐλογημένη,
εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Ἀστέκτῳ πυρὶ ἑνωθέντες

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις.

Τρωθεὶς ἀγάπῃ τοῦ Παντοκράτορος
ὅλον σαυτοῦ τὸν βίον θρηνῳδῶν διετέλεσας
ἐκβοῶν μετ' ἐκπλήξεως, Ὅσιε·
Ἄνες τὰ κύματά σου, Σῶτερ, τῆς χάριτος,
ταύτην μοι πλουσίως συντηρῶν ἐν τῇ μελλούσῃ ζωῇ.

Ἡδὺς ὁ λόγος σου, κατανύξεως
παρεκτικὸς καὶ πλήρης φωτισμοῦ τοῖς προστρέχουσι,
θεοφόρε Ἐφραίμ, ἀξιάγαστε·
ἄμεμπτος δὲ ὁ βίος πάσαις κοσμούμενος
ταῖς θεοφεγγέσιν ἀρεταῖς καὶ λαμπρυνόμενος.

www.tezaurliturgic.ro

Ναὸς τοῦ Πνεύματος ἐχρημάτισας
καὶ ποταμὸς ναμάτων ζωηῤῥύτων πληρούμενος,
Ἐκκλησίας θεμέλιος ἄσειστος,
ἔρεισμα μοναζόντων, ῥεῖθρον ἀέναον
θείας κατανύξεως, Ἐφραίμ, ἀξιοθαύμαστε.

Θεοτοκίον.

Νοεῖν οὐ δύναται νοῦς ἀνθρώπινος
τὸ ὑπὲρ νοῦν τοῦ τόκου σου μυστήριον, Ἄχραντε·
ὁ γὰρ Θεὸς σκηνώσας ἐν μέσῳ σου,
κλεῖθρα τῆς παρθενίας οὐ παρεσάλευσε
μόνος ὡς ἐπίσταται αὐτὸς ὁ ἀκατάληπτος.

Δεύτερος. Ἐξέστη ἐπὶ τούτῳ.

Σοφίᾳ διαλάμπων παντοδαπεῖ,
μετανοίας ἐδείχθης διδάσκαλος
καὶ ἀρετῶν, Πάτερ θεοφόρε, ὑφηγητὴς
καὶ τῶν δογμάτων, Ὅσιε,
τῆς Ὀρθοδοξίας κήρυξ λαμπρός,
Ἐφραὶμ πνευματοφόρε,
Ἀγγέλων συμπολῖτα
καὶ Ὀρθοδόξων ἐγκαλλώπισμα.

Ἰσχὺν καὶ εὐφροσύνην πνευματικὴν
ὁμιλοῦντες τοῖς λόγοις σου, Ὅσιε, τοῖς ἱεροῖς
πάντοτε καρπούμεθα ἀληθῶς
καὶ ζῆλον προσλαμβάνομεν
βαίνειν πρὸς τὰ ἔμπροσθεν ἐν σπουδῇ·
διό σε ὡς ἀλείπτην
τῶν μοναστῶν ὑμνοῦμεν
καὶ ὁδηγόν, Ἐφραίμ, θεόσοφον.

Μετέστης πρὸς τὰς ἄνω θείας μονάς,
τὴν λαμπάδα τηρήσας σου ἄσβεστον
δι' ἀρετῆς καὶ τῆς ἐγρηγόρσεως τοῦ νοός·
καὶ νῦν εὐφραίνῃ, Ὅσιε,

ἔνδον τοῦ νυμφῶνος τοῦ νοητοῦ,
χαρᾶς ἀδιαδόχου
καὶ φωτισμοῦ ἀῤῥήτου,
θεουργικῶς, Ἐφραίμ, πληρούμενος.

Ὁ μέγας μοναζόντων ὑφηγητής,
ποδηγέτης καὶ θεῖος διδάσκαλος
καὶ ἀσκητῶν τύπος καὶ παράδειγμα καὶ κανών,
Ἐφραὶμ μακαριώτατε,
πρόσδεξαι τὸν ὕμνον μου συμπαθῶς
καὶ δίδου μοι, ὦ Πάτερ,
μετάνοιαν γνησίαν,
ἵνα ζωῆς τύχω τῆς κρείττονος.

Θεοτοκίον.

Ὑψίστου ἐνδιαίτημα παμφαές,
Ὑπερένδοξε Κόρη Πανάμωμε,
Μῆτερ Θεοῦ, ῥῦσαί με μανίας τῆς τοῦ ἐχθροῦ
καὶ τὴν καρδίαν κάθαρον
πάσης ἐμπαθείας χαμαιπετοῦς,
πταισμάτων μοι αἰτοῦσα
τὴν ἄφεσιν, Παρθένε,
καὶ τῶν παθῶν τὴν ἀπολύτρωσιν.

Καταβασία. Ἐν νόμῳ σκιᾷ καὶ γράμματι...
Θεοτόκε ἡ ἐλπίς...

Ἐξαποστειλάριον. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὡς ποταμὸς ὑπάρχεις,
ῥεῖθρα χρυσόῤῥυτα βρύων
καὶ τοὺς λαοὺς διεγείρων
τῆς μετανοίας πρὸς τρίβον.
Χριστὸν ἱκέτευε, Πάτερ Ἐφραίμ,
σωθῆναι τὸν κόσμον.

www.tezaurliturgic.ro

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Σοφίας τῆς τοῦ Πνεύματος
ἐδείχθης ἐνδιαίτημα
ἀσκητικῇ πολιτείᾳ,
Πάτερ Ἐφραίμ, διαπρέψας·
διὸ εὐφραίνεις, Ὅσιε,
τοῖς θεοσόφοις λόγοις σου
τοὺς εὐλαβῶς ἐγκύπτοντας
καὶ ὁμιλοῦντας ἐν πίστει
τοῖς θεογράφοις σου δέλτοις.

Θεοτοκίον.

Θεὸν τεκοῦσα, Ἄχραντε,
ἐν ἀνθρωπίνῳ σώματι,
δι' ἀγαθότητα ἄκραν
λύοντα τὴν κατάραν,
παθῶν μου τὴν σκοτόμαιναν
λῦσον τῇ φωταυγείᾳ σου
καὶ μετανοίας χάριτι
καταύγασόν μου τὰς φρένας,
ἵνα ζωῆς τύχω θείας.

Εἰς τοὺς Αἴνους.
Ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

Ἦχος πλ. δ'. Ὦ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἐφραὶμ παμμακάριστε,
ἔρωτι θείῳ τρωθείς,
κοσμικὴν ματαιότητα
νουνεχῶς κατέλιπες
καὶ Χριστῷ ἠκολούθησας,
βίον Ἀγγέλων πολιτευσάμενος
καὶ τῶν ἐν κόσμῳ ξένος δεικνύμενος·

ὦ τῶν ἀγώνων σου!
δι' ὧν καταβέβληκας τοῦ δυσμενοῦς
πάντα τὰ σοφίσματα
ὡς ἐνθεώτατος.

Πάτερ Ἐφραὶμ παμμακάριστε,
ταῖς τῶν δακρύων πηγαῖς
δαψιλῶς ἀρδευόμενος
δένδρον ὡς κατάκαρπον
καὶ λειμὼν εὐωδέστατος
τῆς ἀπαθείας ἄνθη τὰ εὔοσμα
καὶ ἀθανάτου ζωῆς τὰς χάριτας
πᾶσιν ἐξήνεγκας καὶ εὐφραίνεις, Ὅσιε
καὶ ὁδηγεῖς
πρὸς ζωὴν τὴν κρείττονα
τοὺς προσιόντας σοι.

Πάτερ Ἐφραὶμ παναοίδιμε,
τοῦ Παρακλήτου τὸ φῶς
οὐρανόθεν δεξάμενος
μοναστῶν διδάσκαλος
καὶ φωστὴρ ὤφθης ἄδυτος·
καὶ διδαχαῖς σου ἰθύνεις, Ὅσιε,
ἡμᾶς ταῖς θείαις πρὸς τελειότητα·
ὦ τῆς δοθείσης σοι
χάριτος, θεσπέσιε, ὅτι πληροῖς
ἡμᾶς κατανύξεως
τῷ θείῳ λόγῳ σου.

Πάτερ Ἐφραὶμ παναοίδιμε,
ἀσκητικῶς τὴν ζωὴν
διανύσας ἐτήρησας
τὴν λαμπάδα ἄσβεστον
τῆς ψυχῆς πόθῳ κρείττονι
καὶ πρὸς νυμφῶνα τὸν ἐπουράνιον
λαμπαδηφόρος χαίρων ἀνέδραμες

www.tezaurliturgic.ro

ἔνθα τῶν πόνων σου
ἀμοιβὰς δρεπόμενος ὑπὲρ ἡμῶν
πρέσβευε δεόμεθα
πρὸς τὸν Φιλάνθρωπον.

Δόξα. Ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, θείῳ πόθῳ τρωθεὶς
ὅλην σου τὴν ζωὴν
ἐν ἀσκήσει καὶ πένθει ἤνυσας
πρὸς τὰ ἄνω ἐπειγόμενος·
καὶ ἀειῤῥύτοις δάκρυσι καθαρθεὶς
τὴν τοῦ Πνεύματος δρόσον ἐδέχου
ὡς γλυκασμὸν οὐράνιον·
καὶ ποταμοὺς διδασκαλίας πηγάσας
τὴν Ἐκκλησίαν εὔφρανας
εὐφραντικῇ τοῦ λόγου χάριτι.
Ἀλλ', ὦ Ἐφραίμ, Πατέρων δόξα
καὶ Ἀγγέλων σύσκηνε,
σὺν αὐτοῖς ἀεὶ δυσώπει
ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε
καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος·
τὴν πόλιν τὴν ἄσειστον,
τὸ τεῖχος τὸ ἄῤῥηκτον,
τὴν ἀῤῥαγῆ προστασίαν
καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν.

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τῶν κανόνων
τοῦ Ἁγίου ἡ γ΄ καὶ στ΄ ᾠδή.
Ἀπόστολον καὶ Εὐαγγέλιον ὅρα Μηνολόγιον.
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

Χαίροις τῶν Ὁσίων κλέος σεπτὸν
καὶ τῶν μοναζόντων Θεοφόρος ὑφηγητής·
χαίροις ὁ τῷ λόγῳ
ἡμᾶς πρὸς θεῖον φόβον
ἀπαύστως διεγείρων, Ἐφραὶμ μακάριε.

Δίστιχον.

Εὔφρανον, Ἐφραίμ, τῇ θείᾳ διδαχῇ σου
Γεράσιμον μέλψαντα τὰς ἀρετάς σου.



www.tezaurliturgic.ro

ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

ΕΦΡΑΙΜ ΤΟΝ ΣΥΡΟΝ

Ποίημα
† Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

«Σὺ δὲ τῷ θείῳ παριστάμενος θυσιαστηρίῳ,
καὶ τῇ ζωαρχικῇ καὶ ὑπεραγίᾳ λειτουργῶν
σὺν ἀγγέλοις Τριάδι, μέμνησο πάντων ἡμῶν,
αἰτούμενος ἡμῖν ἁμαρτημάτων ἄφεσιν,
αἰωνίου τε βασιλείας ἀπόλαυσιν,
Ὅσιε τοῦ Θεοῦ Ἐφραίμ...».
Ἅγ. Γρηγ. Νύσσης.

www.tezaurliturgic.ro



Ἄποψις Ἱερᾶς Μονῆς.
Διακρίνεται τό Ἱερόν Παρεκκλήσιον
τοῦ Γενεθλίου τῆς Ὑπεραγίας Θεοτόκου (8 Σεπτεμβρίου).

Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ **Κύριε εἰσάκουσον**, μεθ' ὅ τὸ Θεὸς Κύριος ὡς συνήθως καὶ τὸ ἑξῆς:

Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.

Ὡς τῶν Ἀγγέλων μιμητὴς ἐν τῷ βίῳ
τῆς ἰσαγγέλου ἠξιώθης εὐκλείας
παρὰ Χριστοῦ, Ἐφραίμ, Ὁσίων καύχημα·
ὅθεν ἀεὶ πρέσβευε πάσης ῥύεσθαι βλάβης
τοὺς πιστῶς προστρέχοντας τῇ πρεσβείᾳ σου, Πάτερ·
σὲ γὰρ προστάτην ἔχομεν σοφὲ
καὶ πρὸς τὸν Κτίστην μεσίτην θερμότατον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε,
τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι·
εἰμὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα,
τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων;
τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους;
οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ·
σοὺς γὰρ δούλους σῴζεις ἀεὶ
ἐκ παντοίων δεινῶν.

Ὁ Ν'. καὶ ὁ Κανὼν οὗ ἡ ἀκροστοιχίς:

Δίδου, ὦ Πάτερ, ἡμῖν σὴν χάριν. Γερασίμου.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Δοχεῖον τῆς χάριτος τοῦ Θεοῦ,
Ἐφραὶμ θεοφόρε,
διὰ βίου εἰλικρινοῦς,
χαρίτωσον, Πάτερ, σαῖς πρεσβείαις
τοὺς ἀδιστάκτῳ ψυχῇ προσιόντάς σοι.

www.tezaurliturgic.ro

Ἰσχὺν ἡμῖν δίδου κατὰ παθῶν,
Ἐφραὶμ θεοφόρε,
ταῖς πρεσβείαις σου πρὸς Χριστόν,
ὡς ἄν τῆς ἰσχύος τοῦ δολίου,
δι' ἐναρέτου ζωῆς κατισχύσωμεν.

Δυνάμωσον, Πάτερ, τὸ ἀσθενὲς
τῆς ἐμῆς καρδίας
τῇ θερμῇ σου ἐπισκοπῇ,
ὡς ἄν διανύσω θεαρέστως,
τῶν ἀρετῶν τὴν ὁδὸν τὴν σωτήριον.

Θεοτοκίον.

Ὁ Λόγος Παρθένε ὁ τοῦ Θεοῦ,
ἐκ σοῦ ἐσαρκώθη,
διαμείνας ὅ ἦν Θεός,
καὶ ἔσωσε πάντας τοὺς ὑμνοῦντας
τῆς σῆς λοχείας τὸ μέγα μυστήριον.

Ὠδὴ γ'. Οὐρανίας ἀψῖδος.

Ὑπερήφανον ὄφιν
καταβαλὼν ᾗσχυνας
τῇ σῇ θαυμαστῇ ταπεινώσει,
Ἐφραὶμ μακάριε·
ὅθεν ταπείνωσιν
δίδου ἡμῖν τὴν ἁγίαν,
ὡς ἄν ματαιότητος
κόσμου ῥυσθείημεν.

Ὡς φωτὸς θείου πλήρης
Πάτερ Ἐφραὶμ Ὅσιε,
λῦσον τῆς ψυχῆς σου τὸ σκότος
ταῖς φωτοφόροις σου,
πρεσβείαις δέομαι
καὶ ἀρετῶν θείῳ φέγγει,
τὴν ζωήν μου ἴθυνον
ἵνα σωθήσομαι.

Πειρασμῶν ἀδοκήτων
καὶ συμφορῶν λύτρωσαι
τοὺς μετὰ σπουδῆς, προσιόντας
τῇ προστασίᾳ σου,
Ἐφραὶμ μακάριε,
καὶ πρὸς γαλήνης λιμένα
καὶ ζωὴν ἐνάρετον
ἡμᾶς κυβέρνησον.

Θεοτοκίον.

Ἀπορρήτως τεκοῦσα
τὸν τοῦ παντὸς Κύριον,
καὶ μετὰ τὸν τόκον Παρθένος,
ἄμωμος μείνασα
τοὺς μώμους κάθαρον
τῆς μολυνθείσης ψυχῆς μου
ῥείθροις τοῦ ἐλέους σου,
Παρθένε Ἄχραντε.

Ἰάσωσον ταῖς πρὸς Θεόν σου πρεσβείαις,
Ἐφραὶμ παμμάκαρ,
ἀπὸ πάσης ἐπιφορᾶς καὶ κακώσεως
τοὺς ἀρωγὸν καὶ προστάτην σε κεκτημένους.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε, Θεοτόκε.
ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν
καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.

Ἦχος β'. Πρεσβεία θερμή.

Φωτὶ νοητῷ προσομιλῶν μακάριε,
φωστὴρ παμφαὴς τῆς Ἐκκλησίας πέφηνας·
καὶ νῦν πυρσῷ τῶν λόγων σου
καταυγάζεις πιστῶν τὴν διάνοιαν.

www.tezaurliturgic.ro

Ἀλλ', ὦ Ἐφραίμ, ὡς ἡμῶν ὁδηγὸς
σκοτασμοῦ παθημάτων ἡμᾶς λύτρωσαι.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Τῇ πλημμύρᾳ τοῦ λόγου σου
τὰς ψυχὰς κατάρδευσον, Ἐφραὶμ Ὅσιε,
τῶν ἐν πίστει εὐφημούντων σε
καὶ τὴν σὴν αἰτούντων χάριν ἄνωθεν.

Ἐκ δεινῶν περιστάσεων
καὶ πολυειδῶν κινδύνων καὶ θλίψεων
ἀνωτέρους διαφύλαττε
τοὺς σοὶ προσιόντας, Ἐφραὶμ Ὅσιε.

Ἡμασί σου πειθόμενοι
τὴν τῆς μετανοίας χάριν καρπούμεθα
καὶ παθῶν ἰὸν ἐκκρούομεν
οἱ σὲ ἀνυμνοῦντες, Ἐφραὶμ Ὅσιε.

Θεοτοκίον.

Θεὸν σωματώσασα
καὶ μετὰ τὸν τόκον παρθένος μείνασα,
Θεοτόκε Ἀειπάρθενε,
ῥῦσαί με μανίας τοῦ ἀλάστορος.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς.

Μέγιστος φωστήρ,
ἐκ Συρίας ἀνατέτελκας
καταυγάζων ταῖς τῶν λόγων ἀστραπαῖς
οἰκουμένης τὰ πληρώματα Πατὴρ ἡμῶν.

Ἴασαι ἡμῶν
ἰατρὸς ὡς ἐμπειρότατος
τοῖς φαρμάκοις διδαχῶν σου τῶν σοφῶν
ἀσθενούσας τὰς καρδίας, Ἐφραὶμ Ὅσιε.

Ἔκρωσον σοφέ,
ζωηφόροις ἱκεσίαις σου
τῆς σαρκός μου καὶ νοὸς τὰς ἐκτροπὰς
καὶ μετάνοιαν, Ἐφραίμ, γνησίαν δίδου μοι.

Θεοτοκίον.

Ὑντριψον Ἁγνὴ
τοῦ ἐχθροῦ τὰ μηχανήματα
τοῦ ὁρμῶντος κατ' ἐμοῦ μανιωδῶς
καὶ πρὸς τρίβον σωτηρίας με ὁδήγησον.

Ὠδὴ στ'. Τὴν δέησιν.

Ἡλίου τοῦ νοητοῦ ταῖς ἀκτῖσι
λαμπρυνόμενος, Ἐφραὶμ θεοφόρε,
τῶν μοναστῶν ὁδηγὸς ἀνεδείχθης
καὶ νῦν ἡμᾶς, Πάτερ σοφέ,
μυστικῶς μυσταγώγει τὰ κρείττονα.

Νοός μου τὸ ὀπτικὸν ἐκκαθάρας
τῇ θερμῇ σου πρὸς Χριστὸν ἱκεσίᾳ
τῆς χαλεπῆς ῥαθυμίας με ῥῦσαι
καὶ μετανοίας τοῖς τρόποις βελτίωσον
τὴν ῥαθυμοῦσάν μου ψυχήν,
ὦ Ἐφραίμ, ὑποφῆτα τῆς χάριτος.

Χειμὼν με τῆς ἁμαρτίας χειμάζει
καὶ ὠθεῖ πρὸς ἀπογνώσεως χάος,
ἀλλὰ τῇ σῇ προστασίᾳ προστρέχω,
ὡς εἰς λιμένα, Ἐφραίμ, γαληνότατον,
καὶ ἐκβοῶ σοι ἐκ ψυχῆς·
τῆς πικρᾶς ἀπωλείας με λύτρωσαι.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἀγγέλων ἁγιωτέρα ἐδείχθης
ἀσυγκρίτως, Θεοτόκε Παρθένε·
τὸν Ποιητὴν γὰρ ἐκύησας τούτων
ἐκ τῆς ἀρχαίας ἀρᾶς ἐκλυτρούμενον
τοὺς τοῦ φρικτοῦ σου τοκετοῦ
προσκυνοῦντας τὸ μέγα μυστήριον.

Διάσωσον ταῖς πρὸς Θεόν σου πρεσβείαις,
Ἐφραὶμ παμμάκαρ,
ἀπὸ πάσης ἐπιφορᾶς καὶ κακώσεως
τοὺς ἀρωγὸν καὶ προστάτην σε κεκτημένους.

Ἄχραντε, ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως
ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον,
ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Ὡς θεωρὸς τοῦ Σωτῆρος τοῦ βήματος
ἀκατακρίτους ἡμᾶς, Πάτερ, πρέσβευε
αὐτῷ παραστῆναι δεόμεθα
ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, Ὅσιε·
τῇ σῇ γὰρ πρεσβείᾳ προστρέχομεν.

Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.
Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Εὐαγγέλιον
ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰμὴ ὁ Πατήρ, οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰμὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι.

Δόξα.

Ταῖς τοῦ σοῦ Ὁσίου πρεσβείαις, ἐλεῆμον
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, ἐλεῆμον
ἐξάλειψον τὰ πλήθη
τῶν ἐμῶν ἐγκλημάτων.

Προσόμοιον.

Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι

Στίχ. *Ἐλεήσόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.*

www.tezaurliturgic.ro

Ὄργανον θεόπνευστον τοῦ Παρακλήτου ἐδείχθης
βίου καθαρότητι
καὶ χαρίτων ἔμπλεως, Ἐφραὶμ Ὅσιε,
καὶ ζωῆς κρείττονος
κατηξιωμένος
καθικέτευε ἑκάστοτε
Χριστὸν τὸν Κύριον
ἱλασμὸν πταισμάτων δεόμεθα
καὶ τῶν παθῶν ἐκλύτρωσιν
δίδοσθαι καὶ φῶς ἡμῖν ἄνωθεν·
σὺ γὰρ ἡμῶν πέλεις
προστάτης ἀρωγὸς καὶ βοηθὸς
καὶ τοὺς σοῖς λόγοις, θεόσοφε,
χάριτος πληρούμεθα.

Ὁ Ἱερεύς: Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ῥύου πάσης ἀνάγκης
καὶ παθῶν ἀκαθάρτων καὶ πάσης θλίψεως,
Ἐφραὶμ πνευματοφόρε,
καὶ χαλεπῶν σκανδάλων
τοὺς ἐν πίστει κραυγάζοντας·
Ὁ τῶν πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Ἰαμάτων σταγόνας
ἐπομβρίᾳ τῇ θείᾳ ἀεὶ ὁ λόγος σου
προῤῥέει καὶ ἰᾶται
ψυχὰς τὰς ἀσθενούσας
καὶ εὐφραίνει τοὺς ψάλλοντας·
Ὁ τῶν Πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Νεκρωθῆναι τῷ κόσμῳ
ἡμᾶς δίδου ὑψόθεν δύναμιν, Ἅγιε,
ζωὴν δὲ τὴν ἁγίαν
ζῆσαι ἐν εὐλαβείᾳ
καὶ βοᾶν μετὰ πίστεως·
Ὁ τῶν Πατέρων ἡμῶν
Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Τεωργήσας, Παρθένε,
τὴν πικρὰν ἁμαρτίαν νοῒ ἀγνώμονι
προστρέχω τῇ σῇ σκέπῃ
καὶ πίστει ἐκβοῶ σοι·
συνηθείας με λύτρωσαι
τῆς μολυνούσης ἀεὶ
ψυχήν μου τὴν ἀθλίαν.

Ὠδὴ η΄. Τὸν Βασιλέα.

Ἄχομεν, Πάτερ, σὲ ἀντιλήπτορα θεῖον
καὶ πληρούμενοι, Ἐφραὶμ πνευματοφόρε,
θείας εὐφροσύνης ὑμνοῦμέν σου τὴν χάριν.

Ῥώμην παράσχου κατὰ ψυχήν τε καὶ σῶμα
καὶ βουλεύματα ἐκλύειν τοῦ Βελίαρ
ἃ καθ' ἡμῶν τεκταίνει, Ἐφραίμ, ὁρμῇ ἀσχέτῳ.

Ἀγγέλων δήμοις συναγαλλόμενος, Πάτερ,
ἀεὶ πρέσβευε Χριστῷ, Ἐφραίμ, διδόναι
ἄφεσιν πταισμάτων τοῖς σὲ ὑμνολογοῦσι.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Κέπε, Παρθένε, ἐπηρειῶν τοῦ δολίου
τῇ μεγίστῃ σου καὶ θείᾳ ἀντιλήψει
τοὺς ὑπερυψοῦντας τὸν ἄφραστόν σου τόκον.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἁλύος ἁμαρτίας
ῥείθροις τῶν σῶν λόγων
ἀποκαθαίρεις, Ἐφραὶμ παμμακάριστε,
τοὺς τῇ σεπτῇ διδαχῇ σου
πιστῶς ἐγκύπτοντας.

Μὴ παύσῃ θεοφόρε,
ἐφορῶν ὑψόθεν
καὶ συνετίζων, Ἐφραίμ, θείᾳ χάριτι
τοὺς μελετῶντας ἐν πίστει
τὰς θείας δέλτους σου.

Ὁ μέγας ἐν Ὁσίοις,
Ἐφραὶμ θεοφόρε,
ὡς ἀντιλήπτωρ ἡμῶν καὶ διδάσκαλος
φόβῳ τῷ θείῳ
τὰς ψυχὰς ἡμῶν συνέτισον.

Θεοτοκίον.

Ὑδάτων ἀπωλείας
ῥῦσαί με, Παρθένε,
καὶ θείου φόβου τὸ ὕδωρ ἀνάβλυσον
ἐν τῇ αὐχμώσῃ ψυχῇ μου,
Ἁγνή, καὶ σῶσόν με.

Τὸ Ἄξιόν ἐστι καὶ τὰ μεγαλυνάρια.

Τὸν ἐκ τῆς Συρίας ὡς παμφαῆ
λάμψαντα ἀστέρα
καὶ λαμπρύναντα πᾶσαν γῆν
ἀρετῶν τῷ φέγγει

Καὶ λόγων ταῖς ἀκτῖσιν,
Ἐφραὶμ τὸν θεοφόρον
ὕμνοις τιμήσωμεν

Χαίροις τῆς σοφίας ὁ θησαυρὸς
καὶ τῆς Ἐκκλησίας
ὁ διδάσκαλος ὁ σεπτός·
χαίροις μοναζόντων
ἀλείπτης πρὸς τὰ κρείττω,
Ἐφραίμ, πνευματοφόρε
Ἀγγέλων σύσκηνε.

Ἔλαμψας ὡς ἄσαρκος ἐπὶ γῆς
ἀσκήσεως πόνοις
ὡς μισήσας τὰ γεηρὰ
καὶ τῆς ἀπαθείας
ὑπέρλαμπρον δοχεῖον,
ὡς ἀληθῶς ἐδείχθης,
Ἐφραὶμ μακάριε.

Ῥῆμά σοι ἐδόθη ἀπ' οὐρανοῦ
σοφίας τῆς θείας
καθαρθέντι δι' ἀρετῆς·
ὅθεν σου τὸ στόμα
ἀνέβλυσε τῷ κόσμῳ
διδασκαλίας ῥεῖθρα,
Ἐφραὶμ θεόσοφε.

www.tezaurliturgic.ro

Ἄμπελος καθάπερ πνευματικὴ
βότρυας προβάλλεις
ἐν τῷ κόσμῳ τοὺς νοητοὺς
ζωῆς μακαρίας
καὶ διδαχῶν ἁγίων
καὶ τῶν πιστῶν εὐφραίνεις,
Ἐφραίμ, τὸ πλήρωμα.

Πρέσβευε ἀπαύστως, Πάτερ Ἐφραίμ,
ὑπὲρ τῶν τιμώντων
τοὺς ἀγῶνάς σου τοὺς σεπτοὺς
καὶ τοῖς μελετῶσι
τὰς σὰς διδασκαλίας
δίδου σοφίαν θείαν
καὶ νοῦν θεόφρονα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,
Πρόδρομε Κυρίου,
Ἀποστόλων ἡ δωδεκάς,
οἱ ἅγιοι πάντες
μετὰ τῆς Θεοτόκου
ποιήσατε πρεσβείαν
εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια
ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς:

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ἔχων παῤῥησίαν πρὸς Χριστὸν
οἷάπερ θεράπων Κυρίου,
Ἐφραὶμ θεόσοφε,
πάσης ἡμᾶς λύτρωσαι
ὀργῆς καὶ θλίψεως
τῇ θερμῇ προστασίᾳ σου
καὶ ἁμαρτημάτων

αἴτει τὴν συγχώρησιν καὶ θείαν ἔλλαμψιν
πᾶσι τοῖς πιστῶς σε τιμῶσιν
ὅπως τῆς ζωῆς τῆς ἀλήκτου
τύχωμεν δοξάζοντες τὸν Κύριον.

Δέσποινα πρόσδεξαι
τὰς δεήσεις τῶν δούλων σου
καὶ λύτρωσαι ἡμᾶς
ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἣν πᾶσαν ἐλπίδα μου
εἰς σὲ ἀνατίθημι,
Μῆτερ τοῦ Θεοῦ
φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δίστιχον.

Ἐφραὶμ Πάτερ, στήριξον τῷ θείῳ φόβῳ
Γεράσιμον σπεύδοντα τῇ χάριτί σου.



www.tezaurliturgic.ro

ΧΑΙΡΕΤΙΣΜΟΙ
ΕΙΚΟΣΙ ΤΕΣΣΕΡΕΣ ΟΙΚΟΙ

ΕΙΣ ΤΟΝ ΟΣΙΟΝ
ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΠΑΤΕΡΑ ΗΜΩΝ

ΕΦΡΑΙΜ ΤΟΝ ΣΥΡΟΝ

«Χαῖρε κλέος καὶ ὡράϊσμα
ἀσκητῶν τοῦ Ἰησοῦ».

www.tezaurliturgic.ro



Ἄποψις τῆς Ἱερᾶς Μονῆς.

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Κοντάκιον.
Ἦχος πλ. δ'. Τῇ Ὑπερμάχῳ.

Τῶν μοναζόντων ὁ φωστὴρ ὁ παμφαέστατος
καὶ μελιῤῥύτων διδαχῶν τὸ μέγα πέλαγος
ἀνυμνείσθω ἐπαξίως Ἐφραὶμ ὁ μέγας
κατανύξεως κρατήρ, ὁ θεῖος σήμερον
καὶ τὸ ὕψος ταπεινώσεως τὸ ἄῤῥητον
ᾧ καὶ κράζομεν, χαῖρε Πάτερ παγκόσμιε.

Ἄγγελος σαρκοφόρος
βιωτεύσας ἀΰλως
τῷ κόσμῳ θεοφόρε ἐφάνης(ἐκ γ')
καὶ σὺν Ἀγγέλοις νῦν ἐν οὐρανοῖς
τῷ θρόνῳ Χριστοῦ παρίστασαι, πρεσβεύων
ὑπὲρ ἡμῶν τῶν πιστῶς βοώντων.

Χαῖρε σοφίας Θεοῦ ὁ πλήρης
χαῖρε προνοίας αὐτοῦ ὁ μύστης
χαῖρε τῆς Συρίας ὁ γόνος ὁ πάνσεπτος
χαῖρε μοναζόντων διδάσκαλος ἔνθεος
χαῖρε ὕψος ταπεινώσεως δυσκατόρθωτον πολλοῖς
χαῖρε βίβλος θείας γνώσεως δυσανάγνωστος ἡμῖν
χαῖρε ὁ ὑπερόπτης τῶν γηΐνων φροντίδων
χαῖρε ὁ συμπολίτης τῶν Ἁγίων Ἀγγέλων
χαῖρε σεπτὸν τοῦ πνεύματος ὄργανον
χαῖρε φωστὴρ φωτίζων ὑφήλιον
χαῖρε δι' οὗ ὁ Χριστὸς ἐδοξάσθη
χαῖρε δι' οὗ ὁ ἐχθρὸς κατῃσχύνθη

Χαῖρε Πάτερ παγκόσμιε.

www.tezaurliturgic.ro

Βλέπων σοῦ θεοφόρε
ὁ ἀρχέκακος ὄφις
τὴν ὄντως σεμνὴν πολιτείαν
τῷ ἀσέμνῳ γυναίῳ ὑποδὺς
τὸν τῆς παρθενίας θησαυρὸν συλῆναι ἔσπευδεν,
ἀλλ' ὅμως σοφῶς νικήσας τοῦτον,
ἔνθους ἐβόας τῷ Σωτῆρι

Ἀλληλούϊα.

Τήϊνον πᾶσαν δόξαν
καὶ σαρκὸς τὰς ὀρέξεις
ὡς σκύβαλα κατὰ Παῦλον ἡγήσω
καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ
ἐπ' ὤμων σῶν μάκαρ ἀράμενος
ἀγγελικῶς ἐν γῇ πεπολίτευσαι
διὸ σοὶ ἐκβοῶμεν τοιαῦτα.

Χαῖρε Χριστοῦ φίλος ὁ γνήσιος
χαῖρε ἡδονῶν ὁ μέγας πολέμιος
χαῖρε τῶν Ὁσίων φαιδρὸν ἀγαλλίαμα
χαῖρε ἀρετῶν ἱερὸν ἐνδιαίτημα
χαῖρε Ἄγγελε ἐπίγειε καὶ οὐράνιε βροτὲ
χαῖρε Ὅσιε πατὴρ ἡμῶν μοναζόντων ὁδηγὲ
χαῖρε τῆς ἐγκρατείας ἀνένδοτον ἔπαθλον
χαῖρε τῆς προσευχῆς ἁγιώτατον τέμενος
χαῖρε Σταυρὸν Χριστοῦ ὁ βαστάσας
χαῖρε παθῶν τὰς ὁρμὰς ὁ νεκρώσας
χαῖρε Ἐφραὶμ τῶν Ὁσίων ἀκρότης
χαῖρε οὐκοῦν μοναστῶν ποδηγέτης

Χαῖρε Πάτερ παγκόσμιε.

Δένδρον θεῖον ὡράθης
φυτευθὲν διεξόδοις
ὑδάτων τῶν τοῦ Πνεύματος λόγων
καὶ καρποὺς προσήγαγες Χριστῷ

τὰς ἐξ ἀσκήσεως σου ἀρετάς, Ὅσιε,
ἀνθ' ὧν εἴληφας τοῦ Πνεύματος
τὴν χάριν βοῶν τὸν ὕμνον

Ἀλληλούϊα.

Ἐξεχύθη πλουσίως
ἡ Πνεύματος χάρις
τοῖς χείλεσι σοῖς θεῖε, Πάτερ,
διὸ καὶ μελιῤῥύτων λόγων ἀνέβλυσας
ποταμοὺς ἀρδεύοντας πᾶσαν τὴν κτίσιν,
ἐξ ὧν περ ἀρυόμενοι πάντες
πιστῶς σοὶ μελῳδοῦμεν

Χαῖρε ἀηδὼν ἡ ἡδύλαλος
χαῖρε τρυγὼν ἡ φιλέρημος
χαῖρε τοῦ Πνεύματος πολύφωνον ὄργανον
χαῖρε τῆς χάριτος Θεοῦ θεῖον τέμενος
χαῖρε ῥήτωρ μεγαλόφωνος Ἐκκλησίας Χριστοῦ
χαῖρε κλέος καὶ ὡράϊσμα ἀσκητῶν τοῦ Ἰησοῦ
χαῖρε τῆς Ἐκκλησίας ὁ νοητὸς Εὐφράτης
χαῖρε ὁ τῆς Συρίας ἐξαίρετος ὄρπηξ
χαῖρε πηγὴ βλυστάνουσα χάριτας
χαῖρε φωστὴρ καταυγάζων τὰ πέρατα
χαῖρε ἡμῶν πρὸς Θεὸν ἡ πρεσβεία
χαῖρε πιστῶν κραταιὰ προστασία

Χαῖρε Πάτερ παγκόσμιε.

Ζῆλον ἔνθερμον ἔχων
ἐν καρδίᾳ σου, μάκαρ,
ὑπὲρ τῆς ὁμοουσίου Τριάδος
Ἀπολλιναρίου τοῦ δεινοῦ
τὰς βίβλους σοφῶς καταστρέψας
τοῖς πᾶσι δὲ ἀνεκήρυξας Πατέρα Υἱὸν
Πνεῦμα θεῖον, Τριάδα ὁμοούσιον
ᾗ καὶ βοῶμεν οὕτως

www.tezaurliturgic.ro

Ἀλληλούϊα.

Ἥλιος ὥσπερ μέγας
ἀστραπαῖς τῶν σῶν λόγων
καταστράπτεις τὴν ὑφήλιον πᾶσαν
διώκων γὰρ τὸ τῆς ἀπογνώσεως σκότος
πρὸς μετάνοιαν τοὺς ῥαθύμους ἐγείρεις
τὴν τοῦ Χριστοῦ δευτέραν ἐμφανῶς γράφων ἔλευσιν
διὸ σοὶ ἐκβοῶμεν πόθῳ.

Χαῖρε ὁδηγὲ τῶν πλανωμένων
χαῖρε λιμὴν τῶν χειμαζομένων
χαῖρε φωστὴρ φωστήρων λαμπρότερε
χαῖρε πατὴρ τῶν πατέρων ἄριστε
χαῖρε ὅτι ἀπενέκρωσας τῆς σαρκός σου τὰς ὁρμὰς
χαῖρε ὅτι ἐν σοὶ δέδεξαι τὰς Θεοῦ μαρμαρυγὰς
χαῖρε τῶν μοναζόντων ἀκριβὴς νομοθέτης
χαῖρε μετανοούντων ἐν Χριστῷ ὁ ἀλείπτης
χαῖρε Χριστοῦ ὁ θρόνῳ ἱστάμενος
χαῖρε πιστῶν ἀεὶ προϊστάμενος
χαῖρε τῶν σῶν συνωνύμων ὁ ῥύστης
χαῖρε τῶν σῶν ὑμνητῶν ὁ προστάτης

Χαῖρε Πάτερ παγκόσμιε.

Θαυμαστὸς ὄντως πέλει
σοῦ ὁ βίος, παμμάκαρ,
οἱ δὲ λόγοι φιλοσοφίας θείας πλήρεις·
διὸ καὶ οἱ ἐγκύπτοντες αὐτοῖς
ἐν σπουδῇ καὶ νήψει,
κατανύξεως θείας πληροῦνται
καὶ Θεῷ ἀναμέλπουσι τὸν τερπνὸν ὕμνον

Ἀλληλούϊα.

Ἴδιον οὐκ ἐκτήσω
ἐπὶ γῆς, θεοφόρε,
ὡς ἔφης ὁ αὐτὸς ἐν τῇ σῇ μεταστάσει
οὐ χρυσὸν ἢ ἄργυρον, σοφέ,

ἢ ἄλλο τι ἐπίγειον σαφῶς
μόνον δὲ τὰ ἄνω ποθήσας
ἅπερ ἀξίως ἐκληρώσω·
ὅθεν ἀκούεις παρὰ πάντων

Χαῖρε τοῦ Πνεύματος τὸ δοχεῖον
χαῖρε τὸ καύχημα τῶν ὁσίων
χαῖρε τοῦ Σωτῆρος ὀπαδὸς γνησιώτατος
χαῖρε Ἀποστόλων μιμητὴς ὁ πανάριστος
χαῖρε ἀρετῶν θησαύρισμα τῶν ἐνθέων ἁπασῶν
χαῖρε τὸ σεπτὸν κειμήλιον ὄντως τοῦ Θεοῦ ἡμῶν
χαῖρε ἀκτημοσύνης ὁ λαμπρὸς εἰσηγήτωρ
χαῖρε ἀπεγνωσμένων ὁ σοφὸς παρακλήτωρ
χαῖρε δακρύων πηγὴ ἀένναος
χαῖρε δαιμόνων πληγὴ ἀνίατος
χαῖρε κανὼν νηστείας ἰσάγγελος
χαῖρε θαυμάτων τὸ τερπνὸν πέλαγος.

Χαῖρε Πάτερ παγκόσμιε.

Κόσμου τὰς εὐπαθείας
καὶ χλιδὴν τῶν προσκαίρων,
ὅλως ἠρνήσω μάκαρ·
ἐν νηστείαις δὲ καὶ προσευχαῖς
καὶ δάκρυσι τὸν σὸν διήνυσας βίον,
διόπερ νῦν ἀγάλλεσαι σύν Ἀγγέλοις
ἐν τρυφῇ Παραδείσου ᾄδων
τῇ Τριάδι τὸν ὕμνον

Ἀλληλούϊα.

Λάμψας ἐν τῇ ἐρήμῳ
ὡς ἀστὴρ σελασφόρος
κατηύγασας μοναστῶν τὰς ἀγέλας
λαμπρότησιν ἀγώνων τῶν σῶν
καὶ ἀκτῖσι τῶν λόγων σου, πάτερ,
διὸ οἱ φωτισθέντες ἐβόων πρὸς σὲ τοιαῦτα.

www.tezaurliturgic.ro

Χαῖρε τὸ στήριγμα μοναζόντων
χαῖρε ἰσότιμε τῶν Ἀγγέλων
χαῖρε τῆς ἐρήμου φωστὴρ χρυσαυγέστατε
χαῖρε τῆς Ἑώας λαμπτὴρ φαεινότατε
χαῖρε ὅτι κατεφώτισας μοναζόντων τὸν χορὸν
χαῖρε ὅτι καταβέβληκας τὸν ἀρχέκακον ἐχθρὸν
χαῖρε πύρινε στύλε μοναστῶν ποδηγέτα
χαῖρε κλέος καὶ δόξα ἐρημιτῶν τε μάκαρ
χαῖρε ἡδὺ ψυχῆς μου ἐντρύφημα
χαῖρε τερπνὸν ὑμνητῶν σου ἥδυσμα
χαῖρε καὶ νῦν, Ἐφραίμ, θεοφόρε
χαῖρε καὶ αὖθις ἀστὴρ σελασφόρε·

Χαῖρε Πάτερ παγκόσμιε.

Μέλλοντος τρισμάκαρ
ἐκ ζωῆς τῆς προσκαίρου,
μεθίστασθαι πρὸς μονὰς αἰωνίους,
τοὺς σοὶ περιεστώτας,
ἱκανῶς νουθετήσας τὰ πρὸς σωτηρίαν,
καὶ εὐλογήσας αὐτούς,
παρέθου σου τὸ πνεῦμα ἐν χειρὶ Θεοῦ ψάλλων

Ἀλληλούϊα.

Νοῦν τὸν σὸν ἐκκαθάρας
προσπαθείας ἁπάσης
τὴν δὲ ψυχὴν ἡδυπαθείας
καὶ ἐμπαθείας τὸ σῶμα τὸ σὸν
ἀσκητικαῖς ἀγωγαῖς καὶ δακρύων ἐκβλύσεσι·
διὸ σὲ συνελθόντες ὑμνοῦμεν οὕτω βοῶντες

Χαῖρε ὁ οἶκος τῆς ἀπαθείας
χαῖρε ἡ στάθμη τῆς ἐγκρατείας
χαῖρε τῆς διπλῆς τε ἀγάπης τὸ τέμενος
χαῖρε τοῦ Δεσπότου Χριστοῦ ὁ ἐράσμιος

χαῖρε ὅτι κατεφρόνησας τὰ τῆς γῆς ὥσπερ φθαρτὰ
χαῖρε ὅτι ἐπεπόθησας τὰ οὐράνια τερπνὰ
χαῖρε ὁ διαπτύσας τὰ ἡδέα τοῦ βίου
χαῖρε ὁ βαστάσας τὸν ζυγὸν τοῦ Κυρίου
χαῖρε Τριάδος τὸ οἰκητήριον
χαῖρε προσευχῆς τὸ ἐργαστήριον
χαῖρε Χριστῷ ὁ νῦν παριστάμενος
χαῖρε θείῳ φωτὶ ἐλλαμπόμενος

Χαῖρε Πάτερ παγκόσμιε.

Ξένος ὥσπερ ἐν βίῳ,
βιοτεύσας θεόφρων
καὶ παρεπίδημος ἐν ταπεινότητι ἄκρᾳ·
διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεός,
θαυμαστῶς σὲ ἀνύψωσεν, Ὅσιε,
καὶ ἀστέρα νοητὸν τῆς Ἐκκλησίας σὲ ἀνέδειξε
φωταγωγοῦντα τοὺς αὐτῷ βοῶντας

Ἀλληλούϊα.

Ὄντως ἀρετῶν εἰς ὕψος,
ἀνέδραμες, θεοφόρε,
καὶ ἐδέξω παρὰ Θεοῦ
τῆς σοφίας τὸ τάλαντον
καὶ τοῦτο πολλαπλασιάσας
φωστὴρ διαυγέστατος ἐδείχθης,
καταυγάζων ἅπαντας
τοὺς ἐκ πόθου σοι βοῶντας

χαῖρε ὁ θησαυρὸς τῆς σοφίας
χαῖρε ὁ νοῦς τῆς θεολογίας
χαῖρε τοῦ Θεοῦ ἡ πολύφορος ἄμπελος
χαῖρε ἡ ἀνθοῦσα διδασκαλίας βότρυας
χαῖρε στύλε φωταυγέστατε φρυκτωρῶν πᾶσαν τὴν γῆν
χαῖρε ὅτι τύπος γέγονας τῆς μονήρους βιοτῆς

www.tezaurliturgic.ro

χαῖρε ὅτι ἐγένου γεηρῶν ὑπερόπτης
χαῖρε ὅτι ἐφάνης οὐρανίων ἐπόπτης
χαῖρε τὸ οἴκημα τῆς πραότητος
χαῖρε ὑπόδειγμα τῆς ἀσκήσεως
χαῖρε ὁ ἐκβλύσας ῥεῖθρα δακρύων
χαῖρε ὁ τροπώσας στίφη δαιμόνων

Χαῖρε Πάτερ παγκόσμιε.

Ποταμὸς ὥσπερ θεῖος
ἐξερχόμενος, μάκαρ,
τῆς Ἐδὲμ μυστικῶς ἀνεδείχθης
καταρδεύων ἐσχατίας τὰς τῆς γῆς
ταῖς τῶν σῶν δογμάτων ἐπιῤῥοαῖς
τῶν πανσόφων καὶ διδαγμάτων ἐνθέων·
ὅθεν τῷ σὲ δοξάσαντι
ψάλλομεν τὸν ὕμνον

Ἀλληλούϊα.

Ῥείθροις τῶν σῶν δακρύων
τῶν παθῶν τε τὴν φλόγα
κατασβέσας θεῖον σκεῦος
ἐγένου Πνεύματος τοῦ ἁγίου, σοφέ,
οὗπερ ταῖς φωταυγείαις ἐλλαμφθεὶς
στύλος πυρὸς καθωράθης
προηγούμενος ἱεροῦ συστήματος
καὶ καταπυρσεύων τοὺς φαιδρῶς σοι βοῶντας

Χαῖρε ὁ μέγας ἐν τῇ ἀσκήσει
χαῖρε ὁ μείζων ἐν τῇ φρονήσει
χαῖρε Ἐκκλησίας θεμέλιος ἄσειστος
χαῖρε μετανοίας ὁ κήρυξ ὁ πάνσοφος
χαῖρε ῥεῖθρον κατανύξεως τὸ ἀένναον σαφῶς
χαῖρε ἔρεισμα καὶ καύχημα μοναζόντων ἀληθῶς
χαῖρε τῆς εὐσεβείας ἡ ἡδύφθογγος σάλπιγξ

χαῖρε τῆς ἀσεβείας ἡ ἀμφίστομος πέλυξ
χαῖρε πιστῶν ὑπέρμαχος ὁ μέγας
χαῖρε τῶν σῶν ὑμνητῶν θεῖον γέρας
χαῖρε τῆς ἐρήμου ὁ πολιοῦχος
χαῖρε κατ' ἐχθρῶν τε ὁ τροπαιοῦχος

Χαῖρε Πάτερ παγκόσμιε.

Σῶσον πάντας οἰκτίρμον
τοὺς πιστῶς προσκυνοῦντας
τὸ θεῖον κράτος τῆς σῆς ἐξουσίας,
ταῖς τοῦ θεοφόρου Πατρὸς
εὐπροσδέκτοις πρεσβείαις, φιλάνθρωπε,
ὡς ἂν σεσωσμένοι συμφώνως σοὶ
μελῳδοῦμεν τὸν ὕμνον

Ἀλληλούϊα.

Τετραΐππῳ ὡς ἄλλος
Ἡλιοὺ θεομάκαρ ἐπέβης
ὡς ἐφ' ἅρματι ὄντως,
ταῖς τέσσαρσι γενικωτάταις ἀρεταῖς
σωφροσύνης φημὶ
φρονήσεως δικαιοσύνης καὶ ἀνδρείας,
δι' ὧν κατέβαλες τὴν τῶν παθῶν τυραννίδα
καὶ πρὸς οὐρανίους κατέπαυσας μονάς,
ὅθεν παρ' ἡμῶν ἀκούεις

Χαῖρε οἰκήτωρ τῶν οὐρανίων
χαῖρε ἐπόπτα τῶν ὑπὲρ λόγον
χαῖρε τῶν Ἁγίων Ἀγγέλων συνόμιλε
χαῖρε τῶν Ὁσίων ἁπάντων ὁμόσκηνε
χαῖρε νῦν ὁ παριστάμενος τῆς Τριάδος τῷ θρόνῳ
χαῖρε νῦν ὁ εὐφραινόμενος τῆς χαρᾶς τῷ χωρίῳ
χαῖρε ὁ τῆς Τριάδος ἀνυμνῶν σὺν Ἀγγέλοις
χαῖρε ὁ τὴν Τριάδα προσκυνῶν σὺν Ὁσίοις

www.tezaurliturgic.ro

χαῖρε φωτὸς ὁ πληρούμενος θείου
χαῖρε χαρᾶς ἀπολαύων ἐνθέου
χαῖρε ὁ κατὰ παθῶν βασιλεύσας
χαῖρε τῷ Χριστῷ νῦν συμβασιλεύων

Χαῖρε Πάτερ παγκόσμιε.

Ὕπνον τοῖς σοῖς βλεφάροις,
παμμακάριστε Πάτερ,
οὐκ ἔδωκας ἕως σαρκὸς τὰ πάθη,
πάντῃ ἠφάνισας σοφέ,
καὶ ἱερὸν ἐνδιαίτημα σεαυτὸν ἐτέλεσας
τῆς Ὑπερθέου Τριάδος,
βοῶν καὶ ψάλλων αὐτῇ
γαληνῶς τὸν ὕμνον

Ἀλληλούϊα.

Φωτοφόρος ἡ μνήμη,
ἡ ἁγία σου, Πάτερ, ἀνέτειλεν
εὐφραίνουσα πάντας·
ἐν ᾗ τῶν μοναστῶν οἱ χοροὶ
συνελθόντες, ἐφημοῦμέν σε πόθῳ
ἐν ᾠδαῖς καὶ ᾄσμασι παννύχοις
καὶ ἐν ἀγαλλιάσει ψυχῆς
ἐκβοῶμεν σοι τοιαῦτα

Χαῖρε ἀστὴρ ἐν μέσῳ Ὁσίων
χαῖρε πυρσὲ τῶν ἐν ζάλῃ ὄντων
χαῖρε ποταμὲ θεῖα ῥεῖθρα προχέων
χαῖρε θησαυρὲ τῶν τοῦ Πνεύματος λόγων
χαῖρε λύχνε διακρίσεως ἀπαστράπτων τηλαυγῶς
χαῖρε ἄστρον διοράσεως καταυγάζων φαεινῶς
χαῖρε τῆς Παρθενίας τε ὁ ὅρος ὁ θεῖος
χαῖρε καὶ αὖθις ταύτης ὁ διδάσκαλος ὄντως
χαῖρε Θεοῦ ὁ σεπτὸς κληρονόμος
χαῖρε Χριστοῦ ὁ θεῖος συγκληρονόμος

χαῖρε ναοῦ τοῦ σοῦ ἡ θεία δόξα
χαῖρε συνωνύμων τῶν σῶν προστάτα

Χαῖρε Πάτερ παγκόσμιε.

Χαίροις νῦν, θεοφόρε,
ἐν σκηναῖς οὐρανίαις
χαρὰν τὴν ἀτελεύτητον ὄντως·
θεούμενος γὰρ ἐν μεθέξει Τριάδος
τῆς Παναγίας, θεὸς κατὰ χάριν χρηματίζεις,
ᾗ καὶ ψάλλεις φαιδρῶς,
σὺν Ἀγγελικαῖς δυνάμεσι τὸν ὕμνον

Ἀλληλούϊα.

Ψάλλοντές σου τοὺς ὕμνους
ἀνυμνοῦμέν σε πόθῳ,
ὡς θεῖον ἡμῶν παδηγέτην
ἐν γὰρ τῇ προσκαίρῳ ὢν ζωῇ
πρὸς εὐθείας τρίβους ἡμᾶς καθωδήγεις
καὶ μεταστὰς εἰς οὐρανοὺς
κατέλιπας ἡμῖν συγγραμμάτων πληθὺν
ἅπερ ἀναγινώσκοντες ἐκβοῶμέν σοι πόθῳ

Χαῖρε Ὁσίων ἁπάντων κλέος
χαῖρε Συρίας τὸ θεῖον ἔρνος
χαῖρε μοναστῶν ποδηγέτα πανάριστε
χαῖρε εὐσεβῶν βοηθὲ καὶ ὑπέρμαχε
χαῖρε τίμιον ἀγλάϊσμα θεοφόρων ἀσκητῶν
χαῖρε πάντων καταφύγιον τῶν τιμώντων σε πιστῶν
χαῖρε τοῦ ὑμνῳδοῦ σου ἀγαλλίασμα θεῖον
χαῖρε τοῦ σοῦ οἰκέτου θυμηδία θεόφρων
χαῖρε δι' οὗ τῷ Χριστῷ οἰκοιοῦμαι
χαῖρε δι' οὗ χαρᾶς θείας πληροῦμαι
χαῖρε ἐμοῦ πρὸς Χριστὸν ἡ πρεσβεία
χαῖρε παθῶν τῶν ἐμῶν θεραπεία.

Χαῖρε Πάτερ παγκόσμιε.

www.tezaurliturgic.ro

Ὦ πατέρων ἀκρότης,
παμμακάριστε Πάτερ,
καὶ πάντων ἀσκητῶν κοσμιότης (ἐκ γ′)
ἐκδεξάμενος τὰς νῦν ἐφυμνίους ᾠδάς,
ἀπὸ παντός κινδύνου ῥῦσαι ἅπαντας,
καὶ τῆς μελλούσης φρικτῆς κολάσεως,
ὡς ἂν σεσωσμένοι ψάλλωμεν
τῇ Τριάδι σὺν σοὶ τὸν ὕμνον

Ἀλληλούϊα.

Καί αὖθις τό κοντάκιον.
Ἦχος πλ. δ′. Τῇ ὑπερμάχῳ.

Ὡς τῶν Ὁσίων ὄντως ἀκροθίνιον
Καὶ μοναζόντων βοηθόν τε ἀκαταίσχυντον
Ἀνυμνοῦμέν σε συμφώνως, Ἐφραὶμ παμμάκαρ,
Ἀλλ᾽ ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Κύριον
Αὐτῷ πρέσβευε σωθῆναι τοὺς τιμῶντάς σε
Καὶ κραυγάζοντας, χαίροις Πάτερ παγκόσμιε.

Στίχοι Ἰαμβικοὶ εἰς τὸν Ὅσιον Ἐφραίμ.

Ἐφραὶμ ἀσκητῶν ὡράϊσμα καὶ κλέος
Δέξαι προσηνῶς ἐκ ῥυπαρῶν χειλέων
Ἥν σοι προσάγω ἱερὰν ὑμνῳδίαν
Καὶ σαῖς πρεσβείαις πρὸς τὸν Δεσπότην πάντων
Ἐμῶν ἁμαρτάδων ἄφεσιν παράσχου
Ἵνα σέ ὑμνῶ καί πόθῳ μεγαλύνω
Καί σήν λαμπράν πανηγυρίζω μνήμην
Ὕμνοις τε σεπτοῖς ὡς χρεών σός οἰκέτης.